K.K.
GYMNASIALBIBLIOTHEK
FREISTADT.

XERXES
Zug nach
GRIECHENLAND
zu Herodot VII. 21 ff.
Maßstab von 1 : 2,500,000
100 200 Stadien
Gez. v. H. KIEPERT
Gest. v. J. SULZER.
Berlin. Weidmannsche Buchhandlung.
AEGAEISCHES MEER
THRAKISCHES MEER
MAKEDONIA
THESSALIA
Olympos
Pierischer B.
Thermaischer B.
Strymonischer B.
Singitischer B.
Athos B.
Lemnos
Imbros
Samothrake
Thasos
Euboea
Skiathos
Skopelos
Peparethos
Lesbos
Mytilene
Tenedos
Elaeus
Vgb. Sigeion
Rhoeteion
Dardanos
Vgb. Mastusia
Abydos
Madytos
Araplos
Sestos
Rhodius Fl.
Asiyra
XERXES
Übergang
über den
HELLESPONT
zu Herod. VII. 33 ff
Maßstab 1 : 360,000
Stadien
Gez. v. H. KIEPERT.
Gest. v. J. SULZER.
THERMOPYLAE
Maßstab
1 : 2,00,000
Antikyra
Spercheios Fl.
Alter Flusslauf
Malischer
MB.
Sumpfland
Alluvium der
Wahrscheinliche
Richtung des alten
Flusses
Früherer Lauf des Sperchios
M A L I S
Trachis
Alter Lauf
des Asopos
Thermopylae
Anthele
Altenoi
Steinerner Pfad
Steile Felsen
Berupftes Anopaia
Kallidromos
O E T E
Berlin. Weidmannsche Buchhandlung.

K.K.
GYMNASIALBIBLIOTHEK
FREISTADT.

HERODOTOS

ERKLÄRT

VON

HEINRICH STEIN.

VIERTER BAND.

BUCH VII.

MIT DREI KÄRTCHEN VON H. KIEPERT.

FÜNFTE VERBESSERTE AUFLAGE.

Ca 20 l.
K.K.
GYMNASIALBIBLIOTHEK
FREISTADT.

BERLIN,
WEIDMANNSCHE BUCHHANDLUNG
1889.

H.

Ἐπεὶ δὲ ἀγγελίη ἀπίκετο περὶ τῆς μάχης τῆς ἐν 1
Μαραθῶνι γενομένης παρὰ βασιλέα Δαρεῖον τὸν Ὑστά-
σπεος, καὶ πρὶν μεγάλως κεχαραγμένον τοῖσι Ἀθηναίοισι
διὰ τὴν ἐς Σάρδις ἐσβολήν, καὶ δὴ καὶ τότε πολλῷ τε
δεινότερα ἐποίεε καὶ μᾶλλον ὥρμητο στρατεύεσθαι ἐπὶ 5
τὴν Ἑλλάδα. καὶ αὐτίκα μὲν ἐπηγγέλλετο πέμπων ἀγ-
γέλους κατὰ πόλις ἑτοιμάζειν στρατιήν, πολλῷ πλέω
ἐπιτάσσων ἑκάστοισι ἢ πρότερον παρέχειν, καὶ νέας τε
καὶ ἵππους καὶ σῖτον καὶ πλοῖα. τούτων δὲ περιαγγελ-
λομένων ἡ Ἀσίη ἐδονέετο ἐπὶ τρία ἔτεα, καταλεγομένων 10

Neue Rüstungen gegen Hellas. Streit um die Thronfolge. Tod des Dareios (c. 1—4).

1. 3. *καὶ πρίν* ‘schon vorher’ (V 66 1). — *κεχαραγμένος* = *ὠξυσμένος* (VIII 138 4), ‘gereizt, erbittert’. Eurip. Med. 157 *κείνῳ τόδε μὴ χαράσσου*. Vgl. *κνίζειν* (c. 10 ε 3).

4. *ἐσβολήν* könnte *ἐς Λυδίην* oder *ἐς Λυδούς* erwarten lassen; s. aber über den Gebrauch von *Σάρδιες* statt jener Namen zu III 120 3. Die Sache V 89 ff. — Durch *καὶ δὴ καί* wird der Nach- und Hauptsatz markiert (vgl. c. 164 15. IX 7 β 6), zugleich aber auch zu dem Nebengliede des Vordersatzes *καὶ – κεχαραγμένον* in besonderen Bezug gesetzt. Wobei es natürlicher wäre, wenn jenes Nebenglied zur Fügung des Nachsatzes gehörte (*κεχαραγμένος – τότε δή*). Vgl. jedoch zu I 5 7.

5. *δεινότερα ἐποίεε* ‘geberdete er sich noch ärger’, ward sein Zorn noch offenbarer. Vgl. V 105 9 ff. und zu II 121 ε 2.

6. *ἐπηγγέλλετο πέμπων ἀγγέλους*, pleonastisch, wie I 69 10.

7. H. schrieb wohl *κατὰ πόλις τε καὶ ἔθνεα*; denn *κατὰ πόλις* allein ist zu unbestimmt (vgl. VI 48 6) und beschränkt, schon wegen *ἡ Ἀσίη* (10, vgl. c. 21). Unter den Städten sind vorzugsweise die hellenischen verstanden, die aber nur bemannte Schiffe, nicht Feldtruppen und zumal keine Reiterei (*ἵππους* 9) stellten (c 84. 93 f.).

8. *πρότερον*: die Stärke der Kontingente war für die einzelnen Provinzen und Stämme ebenso festgestellt, wie ihre sonstigen Pflichten und Leistungen (III 89 ff.). Diesmal ward sie in einem bestimmten Verhältnisse erhöht. — *νέας* ‘Kriegsschiffe’, insbesondere Trieren (zu VIII 1 2).

9. *πλοῖα*, sowohl für den Transport der Pferde (*ἱππαγωγά* (VI 48 8. VII 21 7. 97 9) als des Getreides (*σιταγωγά* (c. 186 3. 191 1).

10. *ἐπὶ τρία ἔτεα*, 489—487. Die Schlacht von Marathon fiel in den September 490 (zu VI 106 13), und bei den grofsen Entfernungen

τε τῶν ἀρίστων ὡς ἐπὶ τὴν Ἑλλάδα [στρατευομένων] καὶ παρασκευαζομένων. τετάρτῳ δὲ ἔτεϊ Αἰγύπτιοι ὑπὸ Καμβύσεω δουλωθέντες ἀπέστησαν ἀπὸ Περσέων. ἐνθαῦτα δὴ καὶ μᾶλλον ὥρμητο καὶ ἐπ' ἀμφοτέρους στρατεύεσθαι.

2 Στελλομένου δὲ Δαρείου ἐπ' Αἴγυπτον καὶ Ἀθήνας, τῶν παίδων αὐτοῦ στάσις ἐγένετο μεγάλη περὶ τῆς ἡγεμονίης, ὡς δεῖ μιν ἀποδέξαντα βασιλέα κατὰ τὸν Περσέων νόμον οὕτω στρατεύεσθαι. ἦσαν γὰρ Δαρείῳ καὶ πρότερον ἢ βασιλεῦσαι γεγονότες τρεῖς παῖδες ἐκ τῆς προτέρης γυναικός, Γοβρύεω θυγατρός, καὶ βασιλεύσαντι ἐξ Ἀτόσσης τῆς Κύρου ἕτεροι τέσσερες. τῶν μὲν δὴ προτέρων ἐπρέσβευε Ἀρτοβαζάνης, τῶν δὲ ἐπιγενομένων Ξέρξης. ἐόντες δὲ μητρὸς οὐ τῆς αὐτῆς ἐστασίαζον, ὁ μὲν Ἀρτοβαζάνης κατότι πρεσβύτατός τε εἴη παντὸς τοῦ γόνου καὶ ὅτι νομιζόμενον εἴη πρὸς πάντων ἀνθρώπων τὸν πρεσβύτατον τὴν ἀρχὴν ἔχειν, Ξέρξης δὲ ὡς Ἀτόσσης τε παῖς εἴη τῆς Κύρου θυγατρὸς καὶ ὅτι Κῦρος εἴη ὁ κτησάμενος τοῖσι **3** Πέρσῃσι τὴν ἐλευθερίην. Δαρείου δὲ οὐκ ἀποδεικνυμένου κω γνώμην, ἐτύγχανε κατὰ τὠυτὸ τούτοισι καὶ Δημάρητος

zwischen Susa und den Provinzen (V 53) konnten die neuen Rüstungen nicht vor Anfang d. i. vor dem Sommer des folgenden Jahres überall angeordnet sein.

14. *καὶ ἐπ' ἀμφοτέρους* betont, 'gegen béide' (I 74 15).

2. 2. *ἡγεμονίη* 'Regierung' (I 7 1).

3. *ὡς δεῖ, quod oporteret.* Der Streit war auch gegen den König gerichtet, von dem die Söhne verlangten, er solle erst einen Nachfolger bestellen, ehe er in den Krieg auszöge. — Plut. mor. 488. Iustin. II 10 haben die nicht unglaubwürdige Erzählung, dafs der Streit erst nach dem Tode des Königs entstanden und durch Vermittlung seines Bruders, des Artabanos oder Artaphernes, zu Gunsten des Xerxes entschieden worden sei. Wäre H.'s Nachricht begründet, so hätte Dareios seinen Willen schon vor seinem Zuge nach Skythien erklären müssen.

6. *Γοβρύεω*, eines der Sieben (III 70 1). Über des Dareios Familie zu III 88 7. VII 11 8. — Diese zweite Bezeichnung derselben Person sollte nach dem üblichen Gebrauche durch *δέ* angeschlossen sein (zu I 114 24).

8. *Ἀρτοβαζάνης*: Plutarch und Iustin a. O. nennen ihn *Ἀριαμένης* (Ariaemenes).

10. *κατότι* = *κατα τοῦτο ὅτι, propterea quod.* Verschieden von *κατ' ὅ τι, quapropter* (VI 3 2), zu dem es sich wie *διότι* (demonstr.) zu *διὰ τί* oder *δι' ὅ τι* (interrog.) verhält.

13. Vgl. zu c. 11 8.

3. 2. *κατὰ τὠυτό* = *κατὰ τὸν αὐτὸν χρόνον.* Vgl. II 4 10. VII 206 8. Es ist das J. 486. Des

ὁ Ἀρίστωνος ἀναβεβηκὼς ἐς Σοῦσα, ἐστερημένος τε τῆς ἐν Σπάρτῃ βασιληίης καὶ φυγὴν ἐπιβαλὼν ἑωυτῷ ἐκ Λακεδαίμονος. οὗτος ὦνὴρ πυθόμενος τῶν Δαρείου παίδων τὴν διαφορήν, ἐλθών, ὡς ἡ φάτις μιν ἔχει, Ξέρξῃ συνεβούλευε λέγειν πρὸς τοῖσι ἔλεγε ἔπεσι, ὡς αὐτὸς μὲν γένοιτο Δαρείῳ ἤδη βασιλεύοντι καὶ ἔχοντι τὸ Περσέων κράτος, Ἀρτοβαζάνης δὲ ἔτι ἰδιώτῃ ἐόντι [Δαρείῳ]· οὔκων οὔτε οἰκὸς εἴη οὔτε δίκαιον ἄλλον τινὰ τὸ γέρας ἔχειν πρὸ ἑωυτοῦ· | ἐπεί γε καὶ ἐν Σπάρτῃ ἔφη ὁ Δημάρητος ὑποτιθέμενος οὕτω νομίζεσθαι, ἢν οἱ μὲν προγεγονότες ἔωσι πρὶν ἢ τὸν πατέρα σφέων βασιλεῦσαι, ὃ δὲ βασιλεύοντι ὀψίγονος ἐπιγένηται, τοῦ ἐπιγενομένου τὴν ἔκδεξιν τῆς βασιληίης γίνεσθαι. χρησαμένου δὲ Ξέρξεω τῇ Δημαρήτου ὑποθήκῃ, γνοὺς ὁ Δαρεῖος ὡς λέγοι δίκαια βασιλέα μιν ἀπέδεξε. δοκέειν δέ μοι, καὶ ἄνευ ταύτης τῆς ὑποθήκης βασιλεῦσαι ἂν Ξέρξης· ἡ γὰρ Ἄτοσσα εἶχε τὸ πᾶν κράτος. ἀποδέξας δὲ βασιλέα Πέρσῃσι Ξέρξην Δαρεῖος **4** ὥρμᾶτο στρατεύεσθαι. ἀλλὰ γὰρ μετὰ ταῦτά τε καὶ Αἰγύπτου ἀπόστασιν τῷ ὑστέρῳ ἔτεϊ παρασκευαζόμενον συνήνεικε αὐτὸν [Δαρεῖον], βασιλεύσαντα τὰ πάντα ἔξ τε καὶ

Demaratos Geschichte ist VI 63—70 erzählt.

4. *φυγὴν ἐπιβαλὼν ἑωυτῷ*: er war freiwillig ins Exil gegangen.

6. *ὡς ἡ φάτις μιν ἔχει* 'wie von ihm die Sage geht'. Vgl. I 69 14. V 66 4. IX 84 8. Pindar P. I 96 *ἐχθρὰ Φάλαριν κατέχει παντᾶ φάτις*, Ol. VII 10 *ὃν φᾶμαι κατέχοντ' ἀγαθαί.*

7. *ἔλεγε*, so oft es zur Erörterung der Streitfrage kam.

10 f. *εἴη*: Optativ in fortgeführter abhängiger Rede wie IV 135 10. VII 168 9. — *τὸ γέρας* 'die Königswürde', wie oft bei Homer. Ebenso c. 8 α 13. 104 7 *τιμή.*

11. Die Worte *ἔφη ὁ Δημάρητος ὑποτιθέμενος* sollten eigentlich parenthetische Fügung haben: *ἐπεί γε καὶ ἐν Σπάρτῃ, ὡς ἔφη ὁ Δ. ὑπ., οὕτω νομίζοιτο.* Von dem spartiatischen Brauche ist sonst nichts bekannt.

14. *ὀψίγονος* 'nachgeboren', poetisch. Für den Sinn hätte schon *ἐπιγένηται* genügt.

17. Der nominativische Infinitiv ist an die Formel *δοκέειν μοι* ('meines Bedünkens') angeschlossen, wie II 56 4. Häufiger ist bei H. der Infinitiv nach relativischen Formeln wie *ὡς λέγουσι, ὡς ἤκουσα* (I 65 20).

18. *Ἄτοσσα*, wie unter Xerxes die Amestris, unter Dareios Nothos die Parysatis.

4. 3. *συνήνεικε* = *συνέβη, accidit.*

4. *τὰ πάντα* 'im ganzen' (I 214 14). — Dareios reg. 521—485. Ktesias Pers. Exc. 19 *τελευτᾷ ζήσας μὲν ἔτη οβ', βασιλεύσας δὲ ἔτη λα'* (516—485). Die Abweichung erklärt sich wohl daraus, dafs Dareios

τριήκοντα ἔτεα, ἀποθανεῖν, οὐδέ οἱ ἐξεγένετο οὔτε τοὺς ἀπεστεῶτας Αἰγυπτίους οὔτε Ἀθηναίους τιμωρήσασθαι. Ἀποθανόντος δὲ Δαρείου ἡ βασιληίη ἀνεχώρησε ἐς τὸν παῖδα τὸν ἐκείνου Ξέρξην. ὁ τοίνυν Ξέρξης ἐπὶ μὲν τὴν Ἑλλάδα οὐδαμῶς πρόθυμος ἦν κατ' ἀρχὰς στρατεύεσθαι, ἐπὶ δὲ Αἴγυπτον ἐποιέετο στρατιῆς ἄγερσιν. παρεὼν δὲ καὶ δυνάμενος παρ' αὐτῷ μέγιστον Περσέων Μαρδόνιος ὁ Γοβρύεω, ὃς ἦν Ξέρξῃ μὲν ἀνεψιὸς Δαρείου δὲ ἀδελφεῆς παῖς, τοιούτου λόγου εἴχετο, λέγων „δέσποτα, οὐκ οἰκός ἐστι Ἀθηναίους ἐργασαμένους πολλὰ δὴ κακὰ Πέρσας μὴ οὐ δοῦναι δίκην τῶν ἐποίησαν. ἀλλ' εἰ τὸ μὲν νῦν ταῦτα πρήσσοις τά περ ἐν χερσὶ ἔχεις·

erst seit 516 unbestrittener König war (zu III 88 2).

Kriegerische Einflüsse auf Xerxes. Mardonios; die Aleuaden und Peisistratiden; Onomakritos (c. 5 f.).

5. 1. ἀνεχώρησε: c. 205 ἐς Λεωνίδην ἀνέβαινε ἡ βασιληίη, I 109 ἐθελήσει – ἐς τὴν θυγατέρα ἀναβῆναι ἡ τυραννίς, VII 154 ἀναλαμβάνει τὴν μουναρχίην, überall von gehöriger rechtmäfsiger Nachfolge und Übernahme der Regierung. Vgl. zu VI 109 19. Lat. *redire*. Dagegen περιχωρέειν περιιέναι u. ä. vom Übergang in fremde Hand; vgl. zu I 7 2.

6. Ξέρξῃ – Δαρείου: c. 82 Δαρείου – ἀδελφεῶν παῖδες, Ξέρξῃ δὲ ἐγίνοντο ἀνεψιοί.

7. εἴχετο 'hielt sich an', bediente sich dieser Rede als Empfehlung und Stütze seiner Anreizungen, so oft er dem Könige damit anlag. Vgl. c. 6 10. VIII 60 6.

8. Aeschyl. Pers. 236 (πάρεστιν) στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.

9. ἀλλ' εἰ st. ἀλλά ist aus den reineren Hss. hergestellt. Die bisherige La. nötigte πρήσσοις als Wunsch oder auch als milden Imperativ zu erklären. Jenes läfst der Gedanke nicht wohl zu; imperativische Kraft aber hat der Optativ (ohne ἄν) nur in der dritten Person, wie im Vers des Aristophanes ἕρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην, oder im Homerischen κῆρυξ τις ἕποιτο γεραίτερος. Dagegen finden sich, zumal bei Homer, nicht wenige Beispiele von εἰ (ἀλλ' εἰ) c. optat. in solchen Sätzen, die eine Aufforderung in die milde Form eines Vorschlages oder Rates kleiden. Il. π 558 Patroklos zu den beiden Aias κεῖται ἀνὴρ ὃς πρῶτος ἐσήλατο τείχος Ἀχαιῶν Σαρπηδών. ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες 'wie nun wenn wir ihn schändeten?' d. i. 'wohlan lafst uns ihn schänden'. Il. ο 569 ermuntert Menelaos den Antilochos οὔτις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν κτλ. und schliefst mit dem Vorschlage εἴ τινά που Τρώων ἐξάλμενος ἀνδρα βάλοισθα. Eurip. Phoen. 724 berät sich Eteokles mit Kreon über die Abwehr der Feinde: εἰ νυκτὸς αὐτοῖς προσβάλοιμεν ἐκ λόχου. 732 τί δ' εἰ καθιππεύσαιμεν Ἀργείων στρατόν; Xen. Symp. II 2 τί οὖν εἰ καὶ μύρον τις ἡμῖν ἐνέγκαι, ἵνα καὶ εὐωδίᾳ ἐστιώμεθα; Vgl. noch Il. κ 111. ω 74. Od. δ 388. φ 260. Naevius fr. 130 Ribb. *quid si taceas?* In dieser Weise denn auch Mardonios: 'wie nun, wenn du erst

ἡμερώσας δὲ Αἴγυπτον τὴν ἐξυβρίσασαν στρατηλάτεε ἐπὶ τὰς Ἀθήνας, ἵνα λόγος τέ σε ἔχῃ πρὸς ἀνθρώπων ἀγαθός, καί τις ὕστερον φυλάσσηται ἐπὶ γῆν τὴν σὴν στρατεύεσθαι." οὗτος μέν οἱ ὁ λόγος ἦν τιμωρός· τοῦδε δὲ τοῦ λόγου παρενθήκην ποιεέσκετο τήνδε, ὡς ἡ Εὐρώπη περικαλλὴς εἴη χώρη, καὶ δένδρεα παντοῖα φέρει τὰ ἥμερα, ἀρετήν τε ἄκρη, βασιλέι τε μούνῳ θνητῶν ἀξίη ἐκτῆσθαι. ταῦτα ἔλεγε οἷα νεώτερων ἔργων ἐπιθυμητὴς ἐὼν καὶ θέλων αὐτὸς τῆς Ἑλλάδος ὕπαρχος εἶναι. χρόνῳ δὲ κα-

das ausrichtetest was du zunächst vorhast?' Er hätte in derselben Form fortfahren können ἡμερώσας δὲ – στρατηλατέοις, spricht aber lieber diesen Vorschlag, als den wesentlichen, in direkter Aufforderung aus. Ähnliche Stellen finden sich bei Her. noch c. 160 11. 235 3.

11. ἡμερώσας: zur Metapher vgl. Cic. off. I 26 90 *equos – ferocitate exsultantes* (ἐξυβρίζοντας) *domitoribus tradere.* τὴν ἐξυβρίσασαν rechtfertigt mit besonderem Nachdrucke die Züchtigung. Mardonios deutet dabei an, der König dürfe, was er gegen Ägypten im Sinne habe, gegen das gleichschuldige Athen nicht unterlassen.

12. λόγος σε ἔχῃ: zu c. 3 6. Od. α 95 ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν. Genau wie hier IX 78 8.

13. Zum Gedanken vgl. IX 17 22. 78 9. 116 12. Il. θ 515 ἵνα τις στυγέῃσι καὶ ἄλλος Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα.

14. τιμωρός = σύμμαχος (c. 6 4), βοηθός, sc. ἐς τὸ ἀναπείθεσθαι Ξέρξην, mit Rückweis auf εἴχετο (7). c. 239 τὸ οἰκὸς ἐμοὶ συμμάχεται. V 65 συντυχίη – σύμμαχος. Andere erklären *ultor, vindex*, 'Rache fordernd'.

16 ff. Man weifs, welche Vorliebe die Perser für Baumzucht hegten. Ihr Gesetzbuch sagt: 'Was ist zum dritten dieser Erde am angenehmsten? Darauf entgegnete Ahuramazda: Wo durch Anbau erzeugt wird am meisten Getreide, Futter und speisetragende Bäume.' 'Wer erfreut zum vierten diese Erde mit der gröfsten Zufriedenheit? Wer am meisten anbaut Feldfrüchte, Gras und Bäume, die Speise bringen' (Vendidad III 12 f. 76 f.). Einer Platane von seltener Schönheit erwies Xerxes ungewöhnliche Ehren (c. 31). Könige und Satrapen wetteiferten in Anlagen von Obst- und Lustgärten und bestellten sie mit eigener Hand (Xen. Oekon. 4). — τὰ ἥμερα 'was fruchttragende sind'. Denn nur auf diese als Beweise sorgfältigen Anbaues, nicht auf die ἄγρια, kommt es dem Lobredner an. Zum Artikel vgl. III 82 8. — ἀρετή 'Fruchtbarkeit' (III 88 18. V 31 4). — ἄκρη 'ausgezeichnet' (V 112 3). — βασιλέι – ἀξίη: gewöhnlicher wäre βασιλεύς τε μοῦνος θνητῶν ἄξιος ἐκτῆσθαι αὐτήν. Vgl. zu III 105 6. IV 42 5.

6. 2. κατεργάζεσθαι öfter im eigentlichen Sinne von Dingen (γῆν, χαλκόν, λίθον), deren Sprödigkeit und Härte man durch Bearbeitung überwindet, *conficere, subigere.* Hier übertr. 'machte ihn willig', besiegte sein Widerstreben. IX 108 οὐκ ἐδύνατο κατεργασθῆναι (ἡ γυνή). Xen. Mem. II 3 16 τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις ἢ εἰ διδοίης

τεργάσατό τε καὶ ἀνέπεισε ὥστε ποιέειν ταῦτα Ξέρξην· συνέλαβε γὰρ καὶ ἄλλα οἱ σύμμαχα γενόμενα [ἐς τὸ πείθεσθαι Ξέρξην]. τοῦτο μὲν ἀπὸ τῆς Θεσσαλίης παρὰ τῶν Ἀλευαδέων ἀπιγμένοι ἄγγελοι ἐπεκαλέοντο βασιλέα πᾶσαν προθυμίην παρεχόμενοι ἐπὶ τὴν Ἑλλάδα· οἱ δὲ Ἀλευάδαι οὗτοι ἦσαν Θεσσαλίης βασιλέες· τοῦτο δὲ Πεισιστρατιδέων οἱ ἀναβεβηκότες ἐς Σοῦσα, τῶν τε αὐτῶν λόγων ἐχόμενοι τῶν καὶ οἱ Ἀλευάδαι, καὶ δή τι πρὸς τούτοισι ἔτι πλέον προσωρέγοντό οἱ. ἔχοντες Ὀνομάκριτι, τοὺς δὲ καλοὺς κἀγαθοὺς ἀνθρώπους προσφιλῶς χρώμενος μάλιστ' ἂν κατεργάσαιο (vorher ähnlich καταπραΰνειν). Auch Plut. Fab. 21 verbindet ἐκπεῖσαί τε καὶ κατεργάσασθαι τὸν ἄνθρωπον. Von τε καί bei sinnverwandten Begriffen zu V 4 9.

4. συνέλαβε 'half, war förderlich'.

5. μέν ohne γάρ, als ginge τάδε ἄλλα vorauf. Ähnlich V 98 13. VIII 25 8. 34 3.

6. Die mächtige und berühmte Familie der Aleuaden, die sich von einem alten Landeskönige Ἀλεύας (c. 130 14. IX 58 4) und weiter aufwärts von Herakles ableitete (Pind. Pyth. X 3. Ulpian. ad Demosth. Ol. I), hatte ihren Stammsitz in Larisa am Peneios. Mit den gleich angesehenen Skopaden in Krannon (VI 127 27) verwandt, übte sie seit Alters über ihr engeres Gebiet hinaus einen entscheidenden Einfluſs auf Regierung und Geschicke des ganzen Landes; Mitglieder des Hauses erlangten oft die Würde eines Bundesherzogs (ταγός). An ihrer Spitze stand damals Thorax mit seinen Brüdern Eurypylos und Thrasydaeos (IX 1. 58). Mit persischer Hilfe hofften sie Alleinherrscher des Landes zu werden, was ihnen auch gelang, bis sie im J. 470 vom spartiatischen Könige Leotychides wieder auf die frühere Stellung beschränkt wurden (VI 72). Zu den Peisistratiden scheinen sie schon früher ein Verhältnis gehabt zu haben (V 63. 93). — Verb. ἐπεκαλέοντο ἐπὶ τ. Ἑ. – προθυμίην, sc. ἐς oder περὶ βασιλέα, 'indem sie ihre völlige Ergebenheit und Bereitwilligkeit versicherten'. IX 45 ὑπὸ προθυμίης sc. ἐς Ἕλληνας. Xen. An. VII 6 11 πλείστην προθυμίαν ἐμαυτῷ γε δή μοι δοκῶ συνειδέναι περὶ ὑμᾶς παρεσχημένος. Thuk. IV 85 πᾶν τὸ πρόθυμον παρεχόμενοι. Vgl. auch I 61 23. IV 98 11. VII 19 10.

8. Auch Thuk. I 111 nennt den Aleuaden Echekratides Θεσσαλῶν βασιλεύς. Streng genommen konnten sie nur Ἀορίσης βασιλέες heiſsen (vgl. V 63 16), obgleich sie, mit Berufung auf Aleuas, den Anspruch auf die Herrschaft des ganzen Landes niemals mögen aufgegeben haben. IX 1 heiſsen sie, ihrer damaligen Stellung gemäſs, Θεσσαλίης ἡγεόμενοι, und Pindar P. X 69 sagt von Thorax und seinen Brüdern: ὑψοῦ φέροντι νόμον Θεσσαλῶν αὔξοντες, um ihre ruhmvolle Leitung des thessalischen Gemeinwesens zu bezeichnen. Vom Plural βασιλέες zu V 64 11. — τοῦτο δέ, näml. ἐπεκαλέοντο.

11. προσορέγεσθαι, gleich dem öfteren προτείνεσθαι (V 24 20. VII 161 1, -ειν VIII 140 β 10) und προίσχεσθαι (I 141 5), 'vorbringen, anbieten, verheiſsen' (ostendere). IX 34 10 steht ἐπορέγεσθαι = ἐπιπροτείνεσθαι. Über das mit

τον, ἄνδρα Ἀθηναῖον χρησμολόγον τε καὶ διαθέτην χρησμῶν τῶν Μουσαίου, ἀναβεβήκεσαν, τὴν ἔχθρην προκαταλυσάμενοι· ἐξηλάθη γὰρ ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου ἐχόμενοι koordinierte verb. fin. zu I 85 5.

12 f. χρησμολόγος bez. sowohl den Seher, Weissager (μάντις) und prophetischen Spruchdichter (χρησμῳδός), wie Musaeos Bakis Amphilytos Lysistratos (I 62. VIII 96. Cic. div. I 18 *qui non ratione aut coniectura observatis ac notatis signis, sed concitatione quadam animi aut soluto liberoque motu futura praesentiunt, ut Bacis Boeotius, ut Epimenides Cres, ut Sibylla Erythraea*), als den gläubigen und gelehrten Inhaber, kundigen Ausleger und feierlichen Recitator (s. unten 22. 27) von alten Sehersprüchen und Orakeln (VIII 142 18. Cic. a. O. *quorum omnium interpretes, ut grammatici poetarum, proxime ad eorum quos interpretantur divinationem videntur accedere*), bei dem man sich in dringenden Fällen Rates erholte, so daſs er in aufgeregten Zeiten groſsen Einfluſs auf die Menge übte (Thuk. II 8). Onomakritos war nicht nur dies alles zugleich, sondern sammelte auch die unter dem Namen des fabelhaften Musaeos umlaufenden Sprüche, überarbeitete ergänzte ordnete sie (διαθέτης) zu einem zusammenhängenden Ganzen, das fortan als Μουσαίου χρησμοί ein Hauptwerk dieser apokryphen Litteratur ausmachte. Ebenso scheint er Ὀρφέως χρησμοί zusammengebracht und veröffentlicht zu haben (Suidas v. Ὀρφεύς), und auf ihn werden auch die auf der athenischen Burg verwahrten Weissagungen (V 90 13), sowie des Hippias chresmologische Gelehrsamkeit (V 93 6) zurückzuführen sein. Womit es eng zusammenhängt, daſs ihn schon Peisistratos beauftragte, in Gemeinschaft mit drei anderen in epischer Dichtung bewanderten Männern, die bislang zerstreuten Glieder der Homerischen Epen wieder zu ordnen und herzustellen (Cramer Anecd. Par. I 6); eine Aufgabe die ihn in ähnlicher Weise wie beim Musaeos zu eigenmächtigen Zusätzen verleitete (Schol. Harl. Od. λ 604). Wieviel nun in jenen Orakelsammlungen nur formale Ausschmückung älteren aber ungleichen und formlosen Stoffes (Plut. mor. 407), wieviel eigene Zudichtung und Fälschung (17) war, läſst sich nicht mehr entscheiden; seit Aristoteles aber glaubte kein Unterrichteter mehr an einen historischen Orpheus und Musaeos, und die unter ihrem Namen vorhandenen χρησμοί schrieb man kurzweg dem Onomakritos als erlogene Machwerke zu (Clem. Al. p. 397 Pott. u. s.). Pausan. I 22 7 erwähnt noch andere ἔπη Μουσαίου als von ihm herrührend. Von ähnlichem pseudonymen Charakter, aber weit gröſserer Bedeutung und Wirkung auf Religion und Litteratur war sein umfangreiches Gedicht Ὀρφέως θεογονία, 'das Grundbuch alter und neuer Mystik', in dem er die Lehren der orphischen Sekte über den Ursprung der Welt, der Götter und der Menschen, über Fall und Läuterung der Seelen, unter mythisch-symbolischer Hülle zu einem gewissen Systeme verarbeitet, teilweise zuerst gegründet hatte. — Da er schon unter Peisistratos gewirkt hatte, muſste er damals (485) bereits ein hochbejahrter Mann sein.

14. Ἱππάρχου, der unter den drei Söhnen des Peisistratos den meisten Sinn und Eifer für Poesie und Kunst bewies. Der litterarische Ruf des Hauses scheint hauptsächlich auf seine Strebungen gegründet

ὁ Ὀνομάκριτος ἐξ Ἀθηνέων, ἐπ' αὐτοφώρῳ ἁλοὺς ὑπὸ Λάσου τοῦ Ἑρμιονέος ἐμποιέων ἐς τὰ Μουσαίου χρησμόν, ὡς αἱ ἐπὶ Λήμνῳ ἐπικείμεναι νῆσοι ἀφανιζοίατο κατὰ τῆς θαλάσσης· διὸ ἐξήλασέ μιν ὁ Ἵππαρχος, πρότερον χρεώμενος τὰ μάλιστα. τότε δὲ συναναβὰς ὅκως ἀπίκοιτο ἐς ὄψιν τὴν βασιλέος, λεγόντων τῶν Πεισιστρατιδέων περὶ αὐτοῦ σεμνοὺς λόγους, κατέλεγε τῶν χρησμῶν· εἰ μέν τι ἐνέοι σφάλμα φέρον τῷ βαρβάρῳ, τῶν μὲν ἔλεγε οὐδέν, ὃ δὲ τὰ εὐτυχέστατα ἐκλεγόμενος ἔλεγε, τόν τε Ἑλλήσποντον ὡς ζευχθῆναι χρεὸν εἴη ὑπ' ἀνδρὸς Πέρσεω τήν τε ἔλασιν ἐξηγεόμενος. οὗτός τε δὴ χρησμῳ-

zu sein. In seiner Umgebung lebten Dichter wie Anakreon und Simonides, und ein dauerndes Denkmal stiftete er sich durch die epigrammatischen Hermen (Plat. Hipparch. 228 f.).

15. *ἐπ' αὐτοφώρῳ ἁλούς* ist hier nicht, wie VI 72 5. 137 21, als unmittelbare Ertappung zu nehmen, da eine derartige Aufsicht undenkbar wäre, sondern deutet auf die schlagenden unwiderstehlichen Gründe, womit Lasos die Fälschung darthat.

16. *Λᾶσος*, angesehen als lyrischer Dichter und Musiker, Lehrer des Pindar.

17. An der östlichen Küste von Lemnos lagen die s. g. *Νέαι* (*νῆσοι*), aus dem Meere durch vulkanische Kräfte aufgestiegen (Plin. II 202. Steph. Byz. s. v.) und zum Teil auch schon im Altertum wieder verschwunden (Paus. VIII 33 4). Bezog sich die Fälschung auf diese 'Neuinseln', so konnte sie eben durch den jungen und noch nachweisbaren Ursprung derselben überführt werden. Damals arbeitete noch auf der Ostküste von Lemnos der feuerspeiende Mosychlos, der seitdem mit einem Teile der Insel selbst ins Meer versunken ist. Wie solche Phänomene in Orakelsprüchen behandelt wurden, zeigt ein bei Plut mor. 399 erhaltener *χρησμός* über eine zwischen Thera und Therasia (um 197 v. Chr.) aufgestiegene Insel. — Das Präsens *ἀφανιζοίατο*, vielleicht weil auch im Verse *ἀφανίζονται* stand, nach häufigem Gebrauch der Orakelsprache (vgl. z. B. c. 140. 220).

19. *χρεώμενος* 'verkehrend' (I 99 6). — *τὰ μάλιστα*, adverbial (V 63 9).

21. *σεμνός, mirabilis, grandis.* Vgl. I 95 5.

22. *μέν* st. *μέν νυν* od. *μὲν ὦν* (c. 15 1. 41 1. 54 1. 55 6. 153 1 u. s.). Vgl. oben 5. — *ἐνέοι*, epische Form. Nur hier. — *σφάλμα φέρον* heifst IX 9 'Unglück bringend', hier aber 'auf ein Unglück hinführend, hindeutend', in welchem Sinne sonst *φέρειν ἐς* oder *ἐπὶ* .. gebräuchlich ist (I 120 12. V 92 *β* 17. VII 19 3. IX 33 13). Wie hier VIII 137 *ὡς εἴη τέρας καὶ φέροι μέγα τι.* — *τῶν*, demonstrativ (I 24 17).

23. *ὃ δέ* 'sondern er' (I 17 9). — *εὐτυχέστατα, faustissima.*

24. *χρεὸν εἴη, in fatis esset* (II 55 6).

25. Vor *ἔλασιν* fehlt wohl *ἄλλην*. — *ἐξηγεόμενος*, nicht ratend und anweisend (wie III 4 17. VI 135 9), sondern nach den Andeutungen seiner Orakel auslegend und vor-

δέων προσεφέρετό ⟨οἱ⟩ καὶ οἵ τε Πεισιστρατίδαι καὶ οἱ Ἀλευάδαι γνώμας ἀποδεικνύμενοι.

Ὡς δὲ ἀνεγνώσθη Ξέρξης στρατεύεσθαι ἐπὶ τὴν Ἑλ- 7
λάδα, ἐνθαῦτα δευτέρῳ μὲν ἔτεϊ μετὰ τὸν θάνατον τὸν Δαρείου πρῶτα στρατηίην ποιέεται ἐπὶ τοὺς ἀπεστεῶτας. τούτους μέν νυν καταστρεψάμενος καὶ Αἴγυπτον πᾶσαν πολλὸν δουλοτέρην ποιήσας ἢ ἐπὶ Δαρείου ἦν, ἐπιτράπει 5
Ἀχαιμένεϊ ἀδελφεῷ μὲν ἑωυτοῦ Δαρείου δὲ παιδί. Ἀχαιμένεα μέν νυν ἐπιτροπεύοντα Αἰγύπτου χρόνῳ μετέπειτα ἐφόνευσε Ἰνάρως ὁ Ψαμμητίχου ἀνὴρ Λίβυς. Ξέρξης δὲ 8
μετὰ Αἰγύπτου ἅλωσιν ὡς ἔμελλε ἐς χεῖρας ἄξεσθαι τὸ στράτευμα τὸ ἐπὶ τὰς Ἀθήνας, σύλλογον ἐπίκλητον Περ-

aussagend; vgl. I 78 5. Ein Beispiel IX 42 f.

26. *προσεφέρετο* 'lag an, drängte', *προσέκειτο*. Daher c. 7 1 *ἀνεγνώσθη Ξέρξης*. Das Verbum gilt auch für *οἵ τε Π. καὶ οἱ Ἀλ.*

Ägypten wieder unterworfen. Staatsrat; Reden des Xerxes, Mardonios und Artabanos (c. 7—11).

7. 2. *δευτέρῳ ἔτεϊ*, 484 v. Chr.

6. *Ἀχαιμένεϊ*: vgl. c. 97. 236. Die beiden Appositionen zeigen an dafs er ein Vollbruder des Xerxes war. S. zu IX 111 7.

8. *Ἰνάρως*: zu III 15 11.

8. 2. *ἐς χεῖρας ἄγεσθαι, suscipere* (I 126 25). Oben c. 5 *ἐν χερσὶ ἔχεις*.

3. *στράτευμα* = *στρατηίην* (zu I 6 11). — *ἐπίκλητος* 'berufen', bezeichnet die Versammlung als eine aufserordentliche, auserlesene und darum besonders wichtige. Liv. XXXV 34 (*Aetoli*) *concilium quidem universae gentis post dimissos Romanos non habuerunt; per apocletos autem — ita vocant sanctius concilium: ex delectis constat viris — id agitabant* cet. In Athen hiefs eine *ἐκκλησία* der Art *σύγκλητος*. Hesych. *ἐσκλητός, ἡ τῶν ἐξόχων ἀνάθροισις ἐν Συ-*

ρακούσαις. Soph. Antig. 160 (*Κρέων*) *σύγκλητον τήνδε γερόντων προὔθετο λέσχην*. Herod. VIII 101 5 *ἐπίκλητος* = *σύμβουλος* (8), Mitglied des Kriegsrates; ebenso IX 42 8. Vgl. auch das deutsche 'Geboten Ding' = aufserordentlicher Gerichtstag. *ἀρίστων*, bes. der königlichen Prinzen, der 'Sieben', der Satrapen und Kommandanten in den Provinzen (s. c. 8*δ* 4. 19 9. 26 6. Daniel III 2). Eine solche Versammlung sieht man dargestellt auf einer im J. 1854 zu Canosa gefundenen, jetzt im Nationalmuseum zu Neapel aufbewahrten, grofsen Amphora (abgebildet in Gerhards Denkm. 1857 T. CIII), in einem dreiteiligen Gemälde. Oben ist durch mythische und symbolische Figuren der Beginn des Kampfes zwischen *Ἀσία* und *Ἑλλάς* und der für jene unheilvolle Ausgang angedeutet; die untere Abteilung zeigt in fünf Figuren die dem Grofskönige botmäfsigen Provinzen, wie sie dem Satrapen ihren Tribut entrichten. In der mittleren Hauptgruppe thront der Grofskönig; einer seiner Grofsen steht vor ihm und hält ihm einen Vortrag, offenbar über den Kriegszug; fünf andere sitzen zu beiden Seiten, während der siebente mit gezücktem Schwerte hinter dem

σέων τῶν ἀρίστων ἐποιέετο, ἵνα γνώμας τε πύθηται
σφέων καὶ αὐτὸς ἐν πᾶσι εἴπῃ τὰ θέλει. ὡς δὲ συνέ-
α) λεχθησαν, ἔλεξε Ξέρξης τάδε. „ἄνδρες Πέρσαι, οὔτ' αὐτὸς
κατηγήσομαι νόμον τόνδε ἐν ὑμῖν τιθείς, παραδεξάμενός
τε αὐτῷ χρήσομαι. ὡς γὰρ ἐγὼ πυνθάνομαι τῶν πρε-
σβυτέρων, οὐδαμά κω ἠτρεμίσαμεν, ἐπείτε παρελάβομεν
τὴν ἡγεμονίην τήνδε παρὰ Μήδων, Κύρου κατελόντος
Ἀστυάγεα· ἀλλὰ θεός τε οὕτω ἄγει καὶ αὐτοῖσι ἡμῖν
πολλὰ ἐπέπουσι συμφέρεται ἐπὶ τὸ ἄμεινον. τὰ μέν νυν
Κῦρός τε καὶ Καμβύσης πατήρ τε ἐμὸς Δαρεῖος κατερ-

Throne steht. Nichts ist im Wege diese ganze Darstellung auf den von Herodot beschriebenen Kriegsrat des Xerxes zu beziehen, als die wahrscheinlich irrtümliche Nebenschrift *ΔΑΡΕΙΟΣ*.

8 *α*. Dionysios von Halikarnafs (de vi dic. in Demosth. 41) führt diese Rede als Muster und als Beweis an, dafs *Ἡροδότου λέξιν τῆς τ' αὐστηρᾶς καὶ τῆς ἡδείας ἁρμονίας μέσην εἶναι καὶ τὰ κράτιστα εἰληφέναι παρ' ἑκατέρας*. — *οὔτε – τε = οὐκ – ἀλλά* (I 59 32).

2. *κατηγήσομαι – τιθείς* 'werde zuerst einführen'. Vgl. II 56 10. — *νόμον τόνδε*: welchen Brauch er meine, erfahren die Zuhörer von dem lebhaften Redner nur indirekt durch die andeutenden Wendungen *οὐδαμά κω ἠτρεμίσαμεν* (4), *πολλὰ ἐπέπουσι* (6), *προσκτήσομαι δύναμιν* (12). — Zum Gedanken vgl. Thuk. V 105 *ἡμεῖς οὔτε θέντες τὸν νόμον οὔτε κειμένῳ πρῶτοι χρησάμενοι, ὄντα δὲ παραλαβόντες καὶ ἐσόμενον ἐς ἀεὶ καταλείψοντες χρώμεθα αὐτῷ*.

6 f. *θεὸς – ἄγει* 'es ist Gottes Schickung, Wille'. Xenoph. Anab. VI 3 18 *ὁ θεὸς ἴσως ἄγει οὕτως*. Soph. O. K. 997 *τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακὰ θεῶν ἀγόντων*, 252 *οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτόν, ὅστις ἄν, εἰ θεὸς ἄγοι, ἐκφυγεῖν δύναιτο*. Da die Phrase sonst immer fatalistische Ergebung in drohendes Mifsgeschick und Verderben ausdrückt, so klingt sie im Munde des arglosen Königs, der auf des Onomakritos Orakel bauen mochte, als bedeutungsvolles Omen. — Dem göttlichen Willen stehen parallel als zweites Motiv die glücklichen Erfolge der eigenen (*αὐτοῖσι, sponte*) Unternehmungslust. — *ἐπέπειν, obire, administrare*, poetisch. Aesch. Pers. 552 klagt der Chor *Ξέρξης δὲ πάντ' ἐπέσπε δυσφρόνως*. — *συμφέρεται ἐπὶ τὸ ἄμεινον* 'gerät zum Guten', wir fahren gut dabei. Vgl. c. 158 13 und zu IV 15 16. Die Attiker sagen *συμφέρειν*. Aristoph. Ekkl. 475 *ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν*. Xen. An. VII 8 4 *συνεβούλευσεν οὖν αὐτῷ θύεσθαι καθὰ εἰώθει καὶ ἔφη συνοίσειν ἐπὶ τὸ βέλτιον*. Auch Her. VII 88 *τά τε γὰρ ἄλλα – αὐτῇ συνήνεικε ἐς εὐτυχίην γενόμενα*.

8 ff. *πατὴρ ἐμός*, ohne Artikel, wie III 36 8 u. a. — *κατεργάσαντο = κατεστρέψαντο* (I 201 1). — *ἐπισταμένοισι – λέγοι*: III 103 *ἐπισταμένοισι τοῖσι Ἕλλησι οὐ συγγράφω*. Il. *κ* 250 *εἰδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοις ἀγορεύεις*. Aesch. Prom. 441 *ἀλλ' αὐτὰ σιγῶ, καὶ γὰρ εἰδνίαισιν ἂν Ὑμῖν λέγοιμι*. Vielleicht ist auch hier *ὑμῖν* ausgefallen. Da in den angeführten Stellen u. s. die Redensart in

γάσαντο καὶ προσεκτήσαντο ἔθνεα, ἐπισταμένοισι εὖ οὐκ
ἄν τις λέγοι. ἐγὼ δὲ ἐπείτε παρέλαβον τὸν θρόνον τοῦ- 10
τον, ἐφρόντιζον ὅκως μὴ λείψομαι τῶν πρότερον γενο-
μένων ἐν τιμῇ τῇδε μηδὲ ἐλάσσω προσκτήσομαι δύναμιν
Πέρσῃσι· φροντίζων δὲ εὑρίσκω ἅμα μὲν κῦδος ἡμῖν [τε]
προσγινόμενον χώρην τε τῆς νῦν ἐκτήμεθα οὐκ ἐλάσσονα
οὐδὲ φλαυροτέρην παμφορωτέρην δέ, ἅμα δὲ τιμωρίην τε 15
καὶ τίσιν γινομένην. διὸ ὑμέας νῦν ἐγὼ συνέλεξα, ἵνα τὸ β)
νοέω πρήσσειν ὑπερθέωμαι ὑμῖν· μέλλω ζεύξας τὸν Ἑλ-
λήσποντον ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐπὶ τὴν Ἑλ-
λάδα, ἵνα Ἀθηναίους τιμωρήσωμαι ὅσα δὴ πεποιήκασι
Πέρσας τε καὶ πατέρα τὸν ἐμόν. ὡρᾶτε μέν νυν καὶ πα- 5
τέρα τὸν ἐμὸν Δαρεῖον ἰθύοντα στρατεύεσθαι ἐπὶ τοὺς
ἄνδρας τούτους. ἀλλ' ὃ μὲν τετελεύτηκε καὶ οὐκ ἐξεγένετο
αὐτῷ τιμωρήσασθαι· ἐγὼ δὲ ὑπέρ τε ἐκείνου καὶ τῶν
ἄλλων Περσέων οὐ πρότερον παύσομαι .. πρὶν ἢ ἕλω τε
καὶ πυρώσω τὰς Ἀθήνας, οἵ γε ἐμὲ καὶ πατέρα τὸν ἐμὸν 10
ὑπῆρξαν ἄδικα ποιεῦντες. πρῶτα μὲν ἐς Σάρδις ἐλθόντες,

positivem Sinne gebraucht ist, so will Tournier das *οὐκ* streichen. — *τὸν θρόνον*, oft bei den Tragikern, aber im Plural. Vgl. c. 52 13.

11 ff. Ehrgeizige Unruhe es den Vorgängern gleich zu thun giebt auch Atossa in Aesch. Pers. 753 ff. als Hauptfehler ihres Sohnes an: *ταῦτα τοῖς κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται Θούριος Ξέρξης· λέγουσι δ' ὡς σὺ μὲν* (sc. *Δαρεῖος*) *μέγαν τέκνοις Πλοῦτον ἐκτήσω ξὺν αἰχμῇ, τὸν δ' ἀνανδρίας ὕπο Ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν. Τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν Τήνδ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδα*.

14. *προσγινόμενον*: dem seines Erfolges gewissen Machthaber steht es wohl an das Mögliche als schon geschehend darzustellen. Bescheidener wäre *προσγενησόμενον* od. *προσγινόμενον ἄν*. — *τῆς νῦν ἐκ-*

τήμεθα, abhängig von den folgenden Komparativen, nämlich als Asien und ein Teil von Libyen. Es ist auf ganz Europa abgesehen (c. 8 *γ* 9), dessen Gröfse nach H.'s Ansicht jene beiden Erdteile zusammen übertrifft (IV 42).

15. *παμφορωτέρην*, von gröfserer Mannigfaltigkeit der Erzeugnisse.

16. *διό*: Dionys. a. O. giebt *διὰ δὴ ταῦτα*. Jenes nur noch c. 6 19.

17. *νοέω, meditor* (VIII 102 1); *διανοέομαι* Dionys. — *ὑπερθέωμαι* 'vortrage' (I 8 6).

8 *β*. 9. Bei *παύσομαι* fehlt *τιμωρεόμενος* od. ä.

10 f. *πυρώσω = ἐμπρήσω* (VIII 102 17). Eurip. Phoen. 575 *Θήβας πυρῶσαι*. — *οἵ*: Od. *ψ* 318 *Τηλέπυλον Λαιστρυγονίην ἀφίκανεν, Οἵ νῆάς τ' ὄλεσαν*. Corp. Inscr. gr. 71 c. *ἐν τῇσι πόλεσιν οἵ ἂν χρῶνται τῷ ἱερῷ*.

11 f. *μέν*: zu c. 6 5. Zur Sache V 101 f. Aristagoras hatte wohl

ἅμα Ἀρισταγόρῃ τῷ Μιλησίῳ δούλῳ δὲ ἡμετέρῳ ἀπικόμενοι, ἐνέπρησαν τά τε ἄλσεα καὶ τὰ ἱρά· δεύτερα δὲ ἡμέας οἷα ἔρξαν ἐς τὴν σφετέρην ἀποβάντας, ὅτε Δᾶτίς τε καὶ Ἀρταφρένης ἐστρατήγεον, τὰ ἐπίστασθέ κου πάντες.

γ) τούτων μὲν τοίνυν εἵνεκα ἀνάρτημαι ἐπ' αὐτοὺς στρατεύεσθαι, ἀγαθὰ δὲ ἐν αὐτοῖσι τοσάδε ἀνευρίσκω λογιζόμενος· εἰ τούτους τε καὶ τοὺς τούτοισι πλησιοχώρους καταστρεψόμεθα, οἳ Πέλοπος τοῦ Φρυγὸς νέμονται χώρην, γῆν τὴν Περσίδα ἀποδέξομεν τῷ Διὸς αἰθέρι ὁμουρέουσαν· οὐδὲ γὰρ ἄλλην χώρην γε οὐδεμίαν κατόψεται ἥλιος ὅμουρον ἐοῦσαν τῇ ἡμετέρῃ, ἀλλὰ σφέας πάσας ἐγὼ ἅμα ὑμῖν μίαν χώρην θήσω, διὰ πάσης διεξελθὼν τῆς Εὐρώπης. πυνθάνομαι γὰρ ὧδε ἔχειν, οὔτε τινὰ πόλιν ἀνδρῶν οὐδεμίαν οὔτε ἔθνος οὐδὲν ἀνθρώπων ὑπολείπεσθαι, τὸ ἡμῖν οἷόν τε ἔσται ἐλθεῖν ἐς μάχην, τούτων τῶν κατέλεξα ὑπεξαιρημένων. οὕτω οἵ τε ἡμῖν αἴτιοι ἔξουσι δούλιον ζυγὸν οἵ

δ) τε ἀναίτιοι. ὑμεῖς δ' ἄν μοι τάδε ποιέοντες χαρίζοισθε· ἐπεὰν ὑμῖν σημήνω τὸν χρόνον ἐς τὸν ἥκειν δεῖ, προθύμως πάντα τινὰ ὑμέων χρήσει παρεῖναι. ὃς ἂν δὲ ἔχων

den Zug betrieben, aber nicht persönlich mitgemacht (V 99 10).

12. *δέ*: s. oben zu c. 2 6.

14. *ἡμέας οἷα*, die Stellung wie VI 11 8. *οἷα*, exklamativ. — Von der Form des Namens *Ἀρταφρένης* (st. *Ἀρταφέρνης*) s. zu V 25 2.

8 γ. 2. *ἐν αὐτοῖσι* 'dabei', in der Unternehmung. S. zu I 9 2.

4 f. *οἳ – χώρην*: vgl. c. 11 22. — *Διός*, als Aufenthalt des Zeus (*ἐν αἰθέρι ναίων* Hom.). Da der Himmelsraum, als Halbkugel gedacht, die Erdscheibe überdeckt und umschliefst, so stofsen, nach ältester Vorstellung, die Grenzen der Erde und des Äthers zusammen. Vgl. I 131 7. Dann, ist der vermessene Gedanke, dürfte er (Xerxes) *τῷ Διὶ βασιλήϊης πέρι ἐρίζειν* (vgl. V 49 41).

6. *χώρην γε*, Ggs. *θάλασσαν*.

7. *σφέας*, von Ländern, wie c. 108 10 von Städten, c. 194 18. 195 4 von Schiffen, und sonst (*μιν*) oft von Dingen (IV 97 14. V 114 3. VI 82 4).

9 f. *τινὰ – οὐδεμίαν* 'gar keine' (IV 19 3). *τινά* gilt auch für *οὐδέν*. — *ἀνδρῶν – ἀνθρώπων*: vgl. I 73 8.

11 ff. *ὑπεξαιρημένων* 'hinweggeräumt', aus der Zahl unserer Gegner. — *ἡμῖν*: Il. α 152 *οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἦλυθον αἰχμητάων Δεῦρο μαχησόμενος, ἐπεὶ οὔ τί μοι αἴτιοι εἰσίν.* — *δούλιον ζυγόν*: Aesch. Pers. 50 *ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι.* — *οἵ τε ἀναίτιοι* ist nur ein rhetorischer Zusatz, des Kontrastes wegen; vgl. zu VI 67 12.

8 δ. 3. *ὃς ἄν δέ*: diese Stellung auch I 138 5; *ὃς ἂν μέν* III 72 25.

ἥκῃ παρεσκευασμένον στρατὸν κάλλιστα, δώσω οἱ δῶρα τὰ τιμιώτατα νομίζεται εἶναι ἐν ἡμετέρου. ποιητέα μέν 5
νυν ταῦτα ἐστὶ οὕτω· ἵνα δὲ μὴ ἰδιοβουλεύειν ὑμῖν δοκέω, τίθημι τὸ πρῆγμα ἐς μέσον, γνώμην κελεύων ὑμέων τὸν βουλόμενον ἀποφαίνεσθαι." ταῦτα εἶπας ἐπαύετο.

Μετ' αὐτὸν δὲ Μαρδόνιος ἔλεγε „ὦ δέσποτα, οὐ **9**
μοῦνον εἷς τῶν γενομένων Περσέων ἄριστος ἀλλὰ καὶ τῶν ἐσομένων, ὃς τά τε ἄλλα λέγων ἐπίκεο ἄριστα καὶ ἀληθέστατα, καὶ Ἴωνας τοὺς ἐν τῇ Εὐρώπῃ κατοικημένους οὐκ ἐάσεις καταγελάσαι ἡμῖν ἐόντας ἀναξίους. καὶ γὰρ 5
δεινὸν ἂν εἴη πρῆγμα, εἰ Σάκας μὲν καὶ Ἰνδοὺς καὶ Αἰθίοπάς τε καὶ Ἀσσυρίους ἄλλα τε ἔθνεα πολλὰ καὶ μεγάλα ἀδικήσαντα Πέρσας οὐδέν, ἀλλὰ δύναμιν προσκτᾶσθαι βουλόμενοι, καταστρεψάμενοι δούλους ἔχομεν, Ἕλληνας δὲ ὑπάρξαντας ἀδικίης οὐ τιμωρησόμεθα· τί δείσαντες; κοίην 10
πλήθεος συστροφήν; κοίην δὲ χρημάτων δύναμιν; τῶν α)

4. *δώσω οἱ*, st. *τούτῳ δώσω* (zu I 5 16). — *δῶρα τὰ τιμιώτατα*: zu III 84 6.

5. *ἐν ἡμετέρου*, st. *ἐν ἡμῶν* od. *ἐν ἡμετέρῳ* (zu 1 35 18).

6. *ἰδιοβουλεύειν*, anomale Bildung st. *ἰδιοβουλέειν* (von *ἰδιόβουλος*) oder *ἰδίῃ βουλεύειν*.

7. *ἐς μέσον*, zur gemeinsamen Beratung; vgl. zu VI 129 7.

9. 2. *γενομένων*, auffällig statt *πρότερον γενομένων* oder *προγενομένων* oder *προγεγονότων*.

3. *λέγων ἐπίκεο, oratione persecutus es.*

4. *καί*: vielleicht *καὶ ὅτι* od. *καὶ ὡς*. — *Ἴωνας*: bekanntlich hiefsen alle Hellenen, nicht blofs die asiatischen, im Oriente Javan (Genesis X 2 u. s.), pers. *Yaunâ*, in griechischer Schreibung *Ἰάονες* (*Ἴωνες*) oder *Ἰᾶνες*. Darum wird öfters den Asiaten dieser Name st. *Ἕλληνες* in den Mund gelegt. Aeschyl. Pers. 178 *Ἰαόνων χῆν οἴχεται πέρσαι θέλων*, 950 *Ἰάνων ναύφρακτος Ἄρης*, der persische Gesandte in Aristoph. Ach. 104 *χαυνόπρωκτ' Ἰαοναῦ*.

5. *καταγελάσαι ἡμῖν*: andere Beispiele dieser Konstruktion zu III 37 5. — *ἐόντας ἀναξίους* 'die doch wahrlich dazu kein Recht haben'.

10. *οὐ*, weil *εἰ* nach *δεινὸν ἂν εἴη πρῆγμα* den Wert von *ὅτι* (*siquidem*) hat. Ebenso c. 46 9. Vgl. zu VI 9 20.

11 f. Es kennzeichnet den Perser, dafs er von der Menge der Menschen und des Geldes allein den Sieg abhängig glaubt. I 136 *τὸ πολλὸν γὰρ ἡγέαται (Πέρσαι) ἰσχυρὸν εἶναι*. Vgl. c. 48. 103. Ähnlich fragt Atossa Aeschyl. Pers. 234 *ὧδε δέ τις πάρεστιν αὐτοῖς (Ἕλλησιν) ἀνδροπλήθεια στρατοῦ*; und 236 *Καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις;* — Zur Frageform vgl. IV 155 19. — *κοίην*, st. *τίνα* (zu I 30 18). — *χρημάτων δύναμιν* hat auch Thuk. I 25. Vgl. *δύναμις ἀνδρῶν* V 100 8. 113 4. VII 153 13.

9 α. *τῶν – μάχην* 'kennen wir doch ihre Kampfesweise'. *μάχη*

ἐπιστάμεθα μὲν τὴν μάχην, ἐπιστάμεθα δὲ τὴν δύναμιν ἐοῦσαν ἀσθενέα· ἔχομεν δὲ αὐτῶν παῖδας καταστρεψάμενοι, τούτους οἳ ἐν τῇ ἡμετέρῃ κατοικημένοι Ἴωνές τε καὶ Αἰολέες καὶ Δωριέες καλέονται. ἐπειρήθην δὲ καὶ αὐτὸς ἤδη ἐπελαύνων ἐπὶ τοὺς ἄνδρας τούτους ὑπὸ πατρὸς τοῦ σοῦ κελευσθείς, καί μοι μέχρι Μακεδονίης ἐλάσαντι καὶ ὀλίγον ἀπολιπόντι ἐς αὐτὰς Ἀθήνας ἀπικέσθαι οὐδεὶς β) ἠντιώθη ἐς μάχην. καίτοι γε ἐώθασι Ἕλληνες, ὡς πυνθάνομαι, ἀβουλότατα πολέμους ἱστασθαι ὑπό τε ἀγνωμοσύνης καὶ σκαιότητος. ἐπεὰν γὰρ ἀλλήλοισι πόλεμον προείπωσι, ἐξευρόντες τὸ κάλλιστον χωρίον καὶ λειότατον, ἐς τοῦτο κατιόντες μάχονται, ὥστε σὺν κακῷ μεγάλῳ ⟨καὶ⟩

wie I 79 13. V 49 16. VII 85 8. IX 46 8.

3. ἔχομεν δέ 'haben wir doch', begründet ἐπιστάμεθα - μάχην (sc. ἀσθενέα). Ähnlich δέ I 136 5. 146 14. 171 26. III 106 7. — παῖδας, wie III 19 9. — ἔχομεν – καταστρεψάμενοι: zu I 27 19.

6. S. VI 43 ff.

8. ὀλίγον ἀπολιπόντι, gleich dem häufigeren ὀλίγου δεήσαντι (c. 10 γ 3). Thuk. VII 70 βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι.

9 β. καίτοι γε verbunden wie μέντοι γε II 93. 98. Der Einwurf trifft eigentlich nur εἰώθασι πολέμους ἱστασθαι: 'Keiner zog mir zum Kampfe entgegen, obgleich sie doch Krieg zu führen pflegen'. Damit ist aber in abspringender Wendung zugleich ein Urteil über diese Kriegführung verbunden: 'und zwar aus Thorheit und Ungeschick in unüberlegtester Weise', wodurch dann ein Übergang gewonnen ist zu der Auslassung über das innere Verhältnis der hellenischen Staaten. Im Munde des Persers und bei dieser Gelegenheit müfste dieselbe unbegreiflich scheinen, wenn man sich nicht erinnert, dafs der Autor auch sonst (vgl. c. 10 ε. 46, zu III 82 26) in solcher Form eigene Gedanken vorzutragen liebt. Dazu erwäge man, dafs er noch in den ersten Jahren des peloponnesischen Krieges an dem Werke schrieb (Einl. S. XLV) und dafs der von ihm hochverehrte Perikles (Einl. S. XXIV) eben die hier getadelte Kriegführung vermied und den Z. 10 ff. ausgesprochenen Rat befolgte (Thuk. II 13).

2. ἱστασθαι, *instituere, administrare*, noch c. 175 3. 236 18. Od. ι 54 στησάμενοι δ' ἐμάχοντο μάχην, λ 314 φυλόπιδα στήσειν. Vgl. c. 152 16. Ähnlich τίθεσθαι: Il. ω 402 θήσονται περὶ ἄστυ μάχην, Thuk. I 31 θέσθαι τὸν πόλεμον ἢ βούλονται.

4. Der Vf. denkt wohl an die Kämpfe vor Ilion, auf dem lelantischen Felde (V 99 5), bei Tegea (I 66), vielleicht auch an die Ebenen von Eleusis und Thria, in denen die Peloponnesier den Athenern wiederholt eine Schlacht anboten. Polyb. XIII 3 μόνην δὲ τὴν ἐκ χειρὸς καὶ συστάδην γιγνομένην μάχην ἀληθινὴν ὑπελάμβανον (sc. οἱ ἀρχαῖοι) εἶναι κρίσιν πραγμάτων. ἢ καὶ τοὺς πολέμους ἀλλήλοις προύλεγον καὶ τὰς μάχας, ὅτε προθοῖντο διακινδυνεύειν, καὶ τοὺς τόπους εἰς οὓς μέλλοιεν ἐξιέναι παραταξόμενοι.

οἱ νικῶντες ἀπαλλάσσονται· περὶ δὲ τῶν ἐσσουμένων οὐδὲ λέγω ἀρχήν, ἐξώλεες γὰρ δὴ γίνονται· τοὺς χρῆν ἐόντας ὁμογλώσσους κήρυξί τε διαχρεωμένους καὶ ἀγγέλοισι καταλαμβάνειν τὰς διαφορὰς καὶ παντὶ μᾶλλον ἢ μάχῃσι· εἰ δὲ πάντως ἔδεε πολεμέειν πρὸς ἀλλήλους, ἐξευρίσκειν χρῆν 10 τῇ ἑκάτεροι εἰσὶ δυσχειρωτότατοι, καὶ ταύτῃ πειρᾶν. τρόπῳ τοίνυν οὐ χρηστῷ Ἕλληνες διαχρεώμενοι, ἐμέο ἐλάσαντος μέχρι Μακεδονίης γῆς, οὐκ ἦλθον ἐς τούτου λόγον ὥστε μάχεσθαι. σοὶ δὲ δὴ μέλλει τίς ὦ βασιλεῦ γ) ἀντιώσεσθαι πόλεμον προφέρων, ἄγοντι καὶ πλῆθος το ἐκ τῆς Ἀσίης καὶ νέας τὰς ἁπάσας; ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο θράσεος ἀνήκει τὰ Ἑλλήνων πρήγματα· εἰ δὲ ἄρα ἔγωγε ψευσθείην γνώμῃ καὶ ἐκεῖνοι ἐπαερθέντες 5

8. Thuk. I 140 Perikles von den Lakonen βούλονται δὲ πολέμῳ μᾶλλον ἢ λόγοις τὰ ἐγκλήματα διαλύεσθαι. Eurip. Phoen. 515 Eteokles von seinem Bruder χρῆν δ' αὐτὸν οὐχ ὅπλοισι τὰς διαλλαγὰς Μῆτερ ποιῆσαι· πᾶν γὰρ ἐξαιρεῖ λόγος Ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν. — καταλαμβάνειν, *cohibere*, schlichten. Vgl. zu I 46 7.

9. παντὶ μᾶλλον, *quavis potius re*.

10. ἐξευρίσκειν, jede Partei in Bezug auf sich selbst.

11. τῇ, ob zu Lande oder zu Wasser (vgl. c. 10 β 8 ἀμφοτέρῃ), und in welcher Waffengattung. — ταύτῃ, die Seemächtigen zur See, wie die Athener, hingegen die durch ihr Fufsvolk Überlegenen, wie die Lakedämonier, zu Lande. πειρᾶν, sc. τῶν ἐναντίων (VI 82 8); öfter πειρᾶσθαι (I 68 30).

12. 'Während sie (sonst) so verkehrt verfahren,' näml. immer gleich bereit sind sich zu schlagen.

13. ἐς τούτου λόγον, von ἐς τοῦτο (IV 127 10) nur soweit verschieden, als damit selbst der Gedanke an Widerstand geleugnet wird. Vgl. zu III 99 12.

9 γ. 2. πόλεμον προφέρειν, wie sonst αἴρεσθαι (c. 132 6. 156 11. VIII 140 α 11), ἐκφέρειν. — Die Attribute ἐκ τῆς Ἀσίης und ἁπάσας gehören jedes zu jedem der beiden Objekte (καὶ πλῆθος τὸ ἐκ τῆς Ἀ. ἅπαν καὶ νέας τὰς ἐκ τῆς Ἀ. ἁπάσας), sind aber, um die Wiederholung zu umgehen und dem rhetorischen Gleichgewichte beider Glieder zuliebe, das eine diesem, das andere jenem Objekte zugeteilt. Ebenso Od. α 5 ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων = ἣν τε καὶ ἑταίρων ψυχὴν καὶ νόστον. Einfacher Il. α 61 εἰ δή ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς, 258 οἳ περὶ μὲν βουλὴν Δαναῶν περὶ δ' ἔστε μάχεσθαι. Her. VI 45 ἅτε τῷ πεζῷ τε προσπταίσας πρὸς τοὺς Βρύγους καὶ τῷ ναυτικῷ μεγάλως περὶ τὸν Ἄθων, VII 10 α οἳ κατὰ θάλασσάν τε ἄριστοι καὶ κατὰ γῆν λέγονται εἶναι, II 68 12. III 139 10.

4 f. ἀνήκει, 'zu solcher Verwegenheit versteigt sich nicht die Macht der Hellenen'. Vgl. zu V 49 15. — γνώμῃ: VIII 40 ἐψευσμένοι γνώμης, IX 61 ψευσθῆναι τῆς ἐλπίδος. Der Genitiv bez. den Inhalt der

ἀβουλίῃ ἔλθοιεν ἡμῖν ἐς μάχην, μάθοιεν ἂν ὡς εἰμὲν ἀνθρώπων ἄριστοι τὰ πολέμια. ἔστω δ' ὧν μηδὲν ἀπείρητον· αὐτόματον γὰρ οὐδέν, ἀλλ' ἀπὸ πείρης πάντα ἀνθρώποισι φιλέει γίνεσθαι."

10 Μαρδόνιος μὲν τοσαῦτα ἐπιλεήνας τὴν Ξέρξεω γνώμην ἐπέπαυτο· σιωπώντων δὲ τῶν ἄλλων Περσέων καὶ οὐ τολμώντων γνώμην ἀποδείκνυσθαι ἀντίην τῇ προκειμένῃ, Ἀρτάβανος ὁ Ὑστάσπεος, πάτρως ἐὼν Ξέρξῃ,
α) τῷ δὴ καὶ πίσυνος ἐὼν ἔλεγε τάδε. „ὦ βασιλεῦ, μὴ λεχθεισέων μὲν γνωμέων ἀντιέων ἀλλήλῃσι οὐκ ἔστι τὴν ἀμείνω αἱρεόμενον ἑλέσθαι, ἀλλὰ δεῖ τῇ εἰρημένῃ χρᾶσθαι, λεχθεισέων δὲ ἔστι, ὥσπερ τὸν χρυσὸν τὸν ἀκήρατον αὐτὸν μὲν ἐπ' ἑωυτοῦ οὐ διαγινώσκομεν, ἐπεὰν δὲ παρατρίψωμεν ἄλλῳ χρυσῷ, διαγινώσκομεν τὸν ἀμείνω.

γνώμη als das Ziel das man verfehlt, der Dativ die γνώμη selbst (sc. ὡς ἐγὼ δοκέω 4) als Anlafs und Ursache der Täuschung. Vgl. IX 122 ἐσσωθέντες τῇ γνώμῃ.

7. δ' ὧν: mag es sich nach der einen oder anderen Seite entscheiden, 'auf alle Fälle mufs man nichts unversucht lassen'. Vgl. zu I 140 7.

8. Theognis 571 δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον. Theokr. XV 62 πεῖρα θὴν πάντα τελεῖται.

10. 1. λεαίνειν (levigare) bezeichnet sowohl das Ebenen und Glätten rauher Flächen, als das Zerstofsen und Zermalmen grobkörniger Körper zu gleichförmiger mehl- oder breiartiger Masse. In letzterer Bedeutung I 200 5 (vgl. IV 122 6); daher auch vom Kauen der Mahlzähne (Xen. Mem. I 4 6). Hieraus entwickelt sich die metaphorische Bed. 'mundgerecht, annehmlich machen'. VIII 142 μηδὲ ὑμέας Ἀλέξανδρος ὁ Μακεδὼν ἀναγνώσῃ λεήνας τὸν Μαρδονίου λόγον. Demnach τοσαῦτα ἐπιλεήνας 'nachdem er soviel zur Empfehlung hinzugefügt hatte'. τοσαῦτα erklärt sich aus einem in ἐπιλεήνας angedeuteten λέγων; vgl. V 56 αἰνίσσεσθαι τάδε τὰ ἔπεα. Soph. Ant. 1194 τί γάρ σε μαλθάσσοιμ' ἂν ὧν εἰσύστερον Ψευσταὶ φανούμεθ' = μαλθάσσων (consolans) λέγοιμ' ἄν;

4. Ἀρτάβανος: zu IV 83 4.

5. ἔλεγε gehört als Prädikat mit doppeltem Bezuge sowohl zum Relativsatze als zum Hauptsatze. Ebenso aber weniger hart c. 190 1. Vgl. zu I 137 4.

10α. 3. αἱρεόμενον bei der Wahl'. Vgl. zu V 95 4.

6 f. παρατρίψωμεν, nämlich ἐν βασάνῳ oder ἐν λίθῳ Λυδίῃ. Die Farbe des Abstriches galt als Kriterium; Anwendung des Scheidewassers kannten die Alten nicht. — Der Vergleich ist von den Dichtern in den verschiedensten Bezügen gebraucht worden. Theogn. 417 ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥστε μολίβδῳ Χρυσός (vgl. 1105), 449 εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον Χρυσὸν ἐρυθρὸν ἰδεῖν τριβόμενον

ἐγὼ δὲ καὶ πατρὶ τῷ σῷ, ἀδελφεῷ δὲ ἐμῷ, Δαρείῳ ἠγόρευον μὴ στρατεύεσθαι ἐπὶ Σκύθας, ἄνδρας οὐδαμόθι γῆς ἄστυ νέμοντας· ὃ δὲ ἐλπίζων [Σκύθας τοὺς νομάδας] καταστρέψεσθαι ἐμοί τε οὐκ ἐπείθετο· στρατευσάμενός 10
τε πολλοὺς καὶ ἀγαθοὺς τῆς στρατιῆς ἀποβαλὼν ἀπῆλθε. σὺ δὲ ὦ βασιλεῦ μέλλεις ἐπ' ἄνδρας στρατεύεσθαι πολλὸν ἀμείνονας ἢ Σκύθας, οἳ κατὰ θάλασσάν τε ἄριστοι καὶ κατὰ γῆν λέγονται εἶναι. τὸ δὲ αὐτοῖσι ἔνεστι δεινόν, ἐμὲ σοὶ δίκαιον ἐστὶ φράζειν. | ζεύξας φῆς τὸν Ἑλλήσποντον- β)
τον ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐς τὴν Ἑλλάδα. καὶ δὴ καὶ συνήνεικέ σε ἤτοι κατὰ γῆν ἢ καὶ κατὰ θάλασσαν ἐσσωθῆναι, ἢ καὶ κατ' ἀμφότερα· οἱ γὰρ ἄνδρες λέγονται εἶναι ἄλκιμοι, πάρεστι δὲ καὶ σταθμώσασθαι, εἰ στρατιήν 5
γε τοσαύτην σὺν Δάτι καὶ Ἀρταφρένεϊ ἐλθοῦσαν ἐς τὴν Ἀττικὴν χώρην μοῦνοι Ἀθηναῖοι διέφθειραν. οὔκων ἀμφοτέρῃ σφι ἐχώρησε. ἀλλ' ἦν τῇσι νησὶ ἐμβάλωσι καὶ νικήσαντες ναυμαχίῃ πλέωσι ἐς τὸν Ἑλλήσποντον καὶ ἔπειτα λύσωσι τὴν γέφυραν, τοῦτο δὴ βασιλεῦ γίνεται δεινόν. 10
ἐγὼ δὲ οὐδεμιῇ σοφίῃ οἰκηίῃ αὐτὸς ταῦτα συμβάλλομαι, γ)
ἀλλ' οἷον κοτὲ ἡμέας ὀλίγου ἐδέησε καταλαβεῖν πάθος, ὅτε πατὴρ σὸς ζεύξας Βόσπορον τὸν Θρηίκιον, γεφυρώσας δὲ

βασάνῳ. Chilon bei Diog. L. I 71 ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται διδοὺς βάσανον φανεράν· ἐν δὲ χρυσῷ ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον. Pind. P. X 67 πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει καὶ νόος ὀρθός. Bakchyl. Fr. 22 Λυδία μὲν γὰρ λίθος μανύει χρυσόν, Ἀνδρῶν δ' ἀρετὰν σοφία τε παγκρατής τ' ἐλέγχει ἀλάθεια. Isokr. Panath. 39 ὥσπερ τὴν πορφύραν καὶ τὸν χρυσὸν θεωροῦμεν καὶ δοκιμάζομεν ἕτερα παραδεικνύοντες τῶν καὶ τὴν ὄψιν ὁμοίαν ἐχόντων κτλ.

7. ηγόρευον μή, vetabam; sonst auch H. ἀπηγόρευον. Doch auch Aristoph. Ran. 628 ἀγορεύω τινὶ ἐμὲ μὴ βασανίζειν. Die Sache IV 83.

8. Vgl. IV 46 9 ff.

10. τε οὐκ – τε 'nicht — sondern' (V 11 9).

14. αὐτοῖσι: zu c. 8γ 3.

10β. 2. καὶ δὴ καὶ συνήνεικε 'gesetzt nun, es trägt sich wirklich zu'. Ähnlich unten 8. Vgl. IV 118 10. V 92η 33.

7. διέφθειραν, starke Hyperbel; s. VI 117 1. — οὔκων 'jedoch gesetzt, es gelingt ihnen nicht' (I 11 17). Die Antwort folgt gleich mit ἀλλ' ἦν . ., vgl. VI 124 1. — οὐκ ἀμφοτέρῃ, d. h. nicht zu Lande.

8. ἐχώρησε, wie III 42 5.

10γ. 1 f. οἰκηίῃ αὐτός: vgl. zu III 81 10. Das Folgende konstr. ἀλλὰ τῷ πάθεϊ (συμβάλλομαι) οἷον.

ποταμὸν Ἴστρον διέβη ἐπὶ Σκύθας. τότε παντοῖοι ἐγέ-
νοντο Σκύθαι δεόμενοι Ἰώνων λῦσαι τὸν πόρον, τοῖσι
ἐπετέτραπτο ἡ φυλακὴ [τῶν γεφυρέων τοῦ Ἴστρου]. καὶ
τότε γε Ἱστιαῖος ὁ Μιλήτου τύραννος εἰ ἐπέσπετο τῶν
ἄλλων τυράννων τῇ γνώμῃ μηδὲ ἠναντιώθη, διέργαστο
ἂν τὰ Περσέων πρήγματα. καίτοι καὶ λόγῳ ἀκοῦσαι δει-
νόν, ἐπ' ἀνδρί γε ἑνὶ πάντα τὰ βασιλέος πρήγματα
δ) γεγενῆσθαι. σὺ ὦν μὴ βούλευ ἐς κίνδυνον μηδένα τοιοῦ-
τον ἀπικέσθαι μηδεμιῆς ἀνάγκης ἐούσης, ἀλλὰ ἐμοὶ πεί-
θευ· νῦν μὲν τὸν σύλλογον τόνδε διάλυσον, αὖτις δέ,
ὅταν τοι δοκέῃ, προσκεψάμενος ἐπὶ σεωυτοῦ προαγόρευε
τά τοι δοκέει εἶναι ἄριστα. τὸ γὰρ εὖ βουλεύεσθαι κέρ-
δος μέγιστον εὑρίσκω ἐόν· εἰ γὰρ καὶ ἐναντιωθῆναί τι
ἐθέλει, βεβούλευται μὲν οὐδὲν ἧσσον εὖ, ἔσσωται δὲ ὑπὸ
τῆς τύχης τὸ βούλευμα· ὁ δὲ βουλευσάμενος αἰσχρῶς,
εἴ οἱ ἡ τύχη ἐπίσποιτο, εὕρημα εὕρηκε, ἧσσον δὲ οὐδέν
ε) οἱ κακῶς βεβούλευται. ὁρᾷς τὰ ὑπερέχοντα ζῷα ὡς κεραυ-

4 f. *τότε . . .*, asyndetisch, weil die damalige Gefahr und Not (3) erklärt wird. Ähnlich IX 26 9. — *παντοῖοι ἐγένοντο - δεόμενοι* 'suchten auf alle Weise zu bereden'. Vgl. zu III 124 6. Zur Sache IV 136 ff.

6. *γεφυρέων*: sonst von dieser Brücke der Singular (IV 98 4. 118 4. 133 4. 136 12 u. s.).

8. *διέργαστο ἄν* = *διέφθαρτο ἄν*, 'so wäre es mit der Macht der Perser ausgewesen'. Vgl. zu I 24 12. III 30 3.

9. *καὶ* 'auch nur', *vel.*

10. *ἀνδρί γε*, Ggs. *θεῷ*.

10 *δ*. 3. *αὖτις* 'später' (VI 75 1).

7 f. *ἐθέλει* = *μέλλει*. Aristoph. Wesp. 533 *μέγας ἐστὶν ἀγὼν - εἴπερ, ὃ μὴ γένοιθ', οὗτός σ' ἐθέλει κρατῆσαι*. Bei H. öfter im Futur; zu I 32 13. — *βεβούλευται - εὖ* heifst nicht nur 'sein Ratschlufs ist um nichts weniger gut', sondern auch 'er ist um nichts weniger gut beraten', und entsprechend unten *κακῶς βεβούλευται* (vgl. I 112 14). An diesen Doppelsinn hält sich die in der Antithese (10) liegende Wahrheit.

10 *ε*. *ὁρᾷς*: das Asyndeton wie c. 50 *β* 1. 135 8, und wohl immer bei dieser begründenden oder exemplifizierenden Wendung. Soph. Ant. 712 *ὁρᾷς, παρὰ ῥεἰθροισι χειμάρροις ὅσα Δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσώζεται*. Eurip. Fr. 1052 *ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος*. Aristoph. Ritt. 92 *ὁρᾷς, ὅταν πίνωσιν ἄνθρωποι, τότε Πλουτοῦσι*. Il. *φ* 108 *οὐχ ὁράᾳς οἷος καὶ ἐγὼ καλός τε μέγας τε*; Xen. Mem. III 4 3 *οὐχ ὁρᾷς ὅτι καὶ ὁσάκις κεχορήγηκε πᾶσι τοῖς χοροῖς νενίκηκε*; ebenso 5 18. 21 u. s. Zum Gedanken vgl. Eurip. Fr. 974 *τῶν ἄγαν γὰρ ἅπτεται Θεός, τὰ μικρὰ δ' εἰς τύχην ἀφεὶς ἐᾷ*, Soph. Ai. 758 *τὰ γὰρ περισσὰ κἀνόνητα σώματα Πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις*.

νοῖ ὁ θεὸς οὐδὲ ἐᾷ φαντάζεσθαι, τὰ δὲ σμικρὰ οὐδέν μιν
κνίζει· ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ μέγιστα αἰεὶ καὶ δέν-
δρεα τὰ τοιαῦτα ἀποσκήπτει τὰ βέλεα· φιλέει γὰρ ὁ
θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν. οὕτω δὲ καὶ στρα- 5
τὸς πολλὸς ὑπὸ ὀλίγου διαφθείρεται κατὰ τοιόνδε· ἐπεάν
σφι ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ ἢ βροντήν, δι' ὧν
ἐφθάρησαν ἀναξίως ἑωυτῶν. οὐ γὰρ ἐᾷ φρονέειν μέγα ὁ
θεὸς ἄλλον ἢ ἑωυτόν. ἐπειχθῆναι μέν νυν πᾶν πρῆγμα ζ)
τίκτει σφάλματα, ἐκ τῶν ζημίαι μεγάλαι φιλέουσι γίνε-
σθαι· ἐν δὲ τῷ ἐπισχεῖν ἔνεστι ἀγαθά, εἰ μὴ παραυτίκα
δοκέοντα εἶναι, ἀλλ' ἀνὰ χρόνον ἐξεύροι τις ἄν. σοὶ μὲν η)

2. *φαντάζεσθαι*, eig. *adparere* (IV 124 9. VII 15 9), hier in eminentem Sinne *se ostentare*, 'sich prunkend zur Schau stellen'; vgl. 8 *φρονέειν μέγα*. Seit Aristoteles wurde *φαντασία* in der entsprechenden Bed. 'Prunk, Glanz, Blendwerk' sehr häufig.

3. *κνίζειν* von peinlichen oder aufregenden Gemütsreizungen; bes. von der Liebe (VI 62 1), oft bei Dichtern. Hier vom Anlafs zur Eifersucht (*φθόνος*), c. 12 2 zur Reue. — *ἐς οἰκήματα*: ein Beispiel IV 79.

4. *τὰ τοιαῦτα*, näml. *τὰ μέγιστα*. — *βέλεα*: zu IV 79 8. — Diese Ansicht vom *φθόνος* ('Eifersucht, Mifsgunst, Neid') der Gottheit auf hervorragende Gröfse und Wohlfahrt der Sterblichen teilten mit wenigen Ausnahmen (bes. Aeschylos und Platon) die Hellenen aller Zeiten. Der Vf., der sie hier u. c. 46 19 durch den Perser, I 32 6 durch Solon, III 40 8 durch Amasis vortragen läfst, findet darin den tieferen Grund der jähen Wechsel, welchen Staaten und Völker im Laufe der Zeiten unterliegen (I 207 10 ff.) und deren getreuer Bericht die Aufgabe der Geschichte ist (I 5 15 ff.). Vgl. zu c. 46 17.

5. *κολούειν*: zu dem antithetischen *ἀέξειν δὲ τὰ σμικρά* war hier kein Anlafs. Hesiod. *ἔργ.* 6 *ῥεῖα δ' ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει*. Diog. L. I 3 2 *φασὶ δ' αὐτὸν (Χείλωνα) καὶ Αἰσώπου πυθέσθαι, ὁ Ζεὺς τί εἴη ποιῶν· τὸν δὲ φάναι, τὰ μὲν ὑψηλὰ ταπεινῶν τὰ δὲ ταπεινὰ ὑψῶν*. Hor. carm. I 34 *valet ima summis Mutare et insignem attenuat deus Obscura promens; hinc apicem rapax Fortuna cum stridore acuto Sustulit, hic posuisse gaudet.*

6 f. *κατὰ τοιόνδε* = *ὧδέ κως* (V 33 12). — *σφι*, sc. *τοῖς στρατιώτας* (aus *στρατός*).

7. *φόβον*, Hindeutung auf das *πανικόν*. S. IV 203 12. VII 43 10. Thuk. VII 80 *καὶ αὐτοῖς, οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις, φόβοι καὶ δείματα ἐγγίγνεσθαι, ἄλλως τε καὶ ἐν νυκτί τε καὶ διὰ πολεμίας καὶ ἀπὸ πολεμίων οὐ πολὺ ἀπεχόντων ἰοῦσιν, ἐμπίπτει ταραχή*. — *βροντή*: ein Beispiel VIII 37 15, um von Il. *θ* 75 abzusehen. Die also Erschreckten hiefsen *ἐμβρόντητοι*. — *δι' ὧν ἐφθάρησαν*: die Sperrung mit *ὧν* verleiht der Präposition einen lebhaften Nachdruck. H. gebraucht sie häufig beim empirischen Aorist; s. zu I 194 21.

10 *ζ*. *ἐπειχθῆναι*, trans. = *σπεῦσαι*, Subjekt zu *τίκτει*.

4 f. *δοκέοντα - ἐξεύροι*: vgl. c. 95 3.

δὴ ταῦτα ὦ βασιλεῦ συμβουλεύω· σὺ δέ, ὦ παῖ Γοβρύεω Μαρδόνιε, παῦσαι λέγων λόγους ματαίους περὶ Ἑλλήνων οὐκ ἐόντων ἀξίων φλαύρως ἀκούειν. Ἕλληνας γὰρ διαβάλλων ἐπαείρεις αὐτὸν βασιλέα στρατεύεσθαι· αὐτοῦ δὲ τούτου εἵνεκα δοκέεις μοι πᾶσαν προθυμίην ἐκτείνειν, μή νυν οὕτω γένηται. διαβολὴ γὰρ ἐστὶ δεινότατον· ἐν τῇ δύο μὲν εἰσὶ οἱ ἀδικέοντες, εἷς δὲ ὁ ἀδικεόμενος. ὃ μὲν γὰρ διαβάλλων ἀδικέει οὐ παρεόντι κατηγορέων, ὃ δὲ ἀδικέει ἀναπειθόμενος πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ· ὁ δὲ δὴ ἀπεὼν τοῦ λόγου τάδε ἐν αὐτοῖσι ἀδικέεται, διαβληθείς τε ὑπὸ τοῦ ἑτέρου καὶ νομισθεὶς πρὸς τοῦ ἑτέρου κακὸς εἶναι. ἀλλ' εἰ δὴ δεῖ γε πάντως ἐπὶ τοὺς ἄνδρας τούτους στρατεύεσθαι, φέρε, βασιλεὺς μὲν αὐτὸς ἐν ἥθεσι τοῖσι Περσέων μενέτω, ἡμέων δὲ ἀμφοτέρων παραβαλλομένων τὰ τέκνα, στρατηλάτεε αὐτὸς σὺ ἐπιλεξάμενός τε ἄνδρας τοὺς ἐθέλεις καὶ λαβὼν στρατιὴν ὁκόσην τινὰ βούλεαι. καὶ ἢν μὲν τῇ σὺ λέγεις ἀναβαίνῃ βασιλέι τὰ πρήγματα, κτεινέσθων οἱ ἐμοὶ παῖδες, πρὸς δὲ αὐτοῖσι καὶ ἐγώ· ἢν

10 *η*. 3. *ματαίους* 'geringschätzige, verleumderische' (III 120 6. VII 15 5).

5. *αὐτόν* 'in Person' (IV 1 2); s. unten 9 2.

6 f. 'Nichts anderes ist der Grund deines grofsen Eifers, als dafs du den König zum Kriege verleiten willst.' — *ἐκτείνειν*, nach dem sprichw. *πάντα κάλων ἐκτείνειν* (Plat. Prot. p. 338). Ps.-Demosth. Epitaph. 30 *ἅπασαν ᾠοντο δεῖν ἀγωνίαν ἐκτεῖναι*. — Verleumdung gilt auch im Avesta als arge Sünde: 'Die erste dieser Sünden, welche die Menschen begehen, ist es, wenn jemand einen reinen Mann bei einem Manne von anderem Glauben und Ansichten verkleinert; mit Wissen sündigt er durch seinen eigenen Verstand' (Vend. XIII 5). — Isokr. Antid. 18 *ἔστι μέγιστον κακὸν διαβολή· τί γὰρ ἂν γένοιτο ταύτης κακουργότερον, ἣ ποιεῖ τοὺς μὲν ψευδομένους εὐδοκιμεῖν, τοὺς δὲ μηδὲν ἡμαρτηκότας δοκεῖν ἀδικεῖν, τοὺς δὲ δικάζοντας ἐπιορκεῖν*. — *μὴ – γένηται*, dehortativ.

9. *παρεόντι κατηγορέων*: zum Dativ vgl. oben c. 9 5.

11. *τάδε*, durch die fg. Participia erklärt. Vgl. zu V 16 13. — *ἐν αὐτοῖσι*: zu c. 8 *γ* 3.

10 *θ*. Mit *ἀλλά* lenkt die Rede von dem allgemeinen Räsonnement wieder zur vorliegenden bestimmten Frage ein. Vgl. zu V 49 41.

2. *ἤθεσι, sedibus* (II 142 16).

3. *παραβάλλεσθαι* 'aufs Spiel, zum Pfande setzen'. Il. *ι* 322 *αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος*. Thuk. II 44 *οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι, οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν*.

6. *ἀναβαίνῃ, eveniant*, wie (Xen.) resp. Athen. II 17 *καὶ ἂν μέν τι κακὸν ἀναβαίνῃ ἀφ' ὧν ὁ δῆμος ἐβούλευσεν*. Sonst in diesem Sinne *ἀποβαίνειν* (VII 234 4. VIII 4 4. 68 *β* 1).

δὲ τῇ ἐγὼ προλέγω, οἱ σοὶ ταῦτα πασχόντων, σὺν δέ σφι καὶ σύ, ἢν ἀπονοστήσῃς. εἰ δὲ ταῦτα μὲν ὑποδύνειν οὐκ ἐθελήσεις, σὺ δὲ πάντως στράτευμα ἀνάξεις ἐπὶ τὴν Ἑλλάδα, ἀκούσεσθαί τινὰ φημὶ τῶν αὐτοῦ τῇδε ὑπολειπομένων Μαρδόνιον, μέγα τι κακὸν ἐξεργασάμενον Πέρσας, ὑπὸ κυνῶν τε καὶ ὀρνίθων διαφορεύμενον ἤ κου ἐν γῇ τῇ Ἀθηναίων ἢ σέ γε ἐν τῇ Λακεδαιμονίων, εἰ μὴ ἄρα καὶ πρότερον κατ' ὁδόν, γνόντα ἐπ' οἵους ἄνδρας ἀναγινώσκεις στρατεύεσθαι βασιλέα."

11 Ἀρτάβανος μὲν ταῦτα ἔλεξε, Ξέρξης δὲ θυμωθεὶς ἀμείβεται τοῖσιδε. „Ἀρτάβανε, πατρὸς εἷς τοῦ ἐμοῦ ἀδελφεός· τοῦτό σε ῥύσεται μηδένα ἄξιον μισθὸν λαβεῖν ἐπέων ματαίων. καί τοι ταύτην τὴν ἀτιμίην προστίθημι ἐόντι κακῷ καὶ ἀθύμῳ, μήτε συστρατεύεσθαι ἐμοιγε ἐπὶ τὴν Ἑλλάδα αὐτοῦ τε μένειν ἅμα τῇσι γυναιξί· ἐγὼ δὲ καὶ ἄνευ σέο ὅσα περ εἶπα ἐπιτελέα ποιήσω. μὴ γὰρ

9. *οὐκ* nach *εἰ*, weil *οὐκ ἐθελήσεις* = *ἀρνήσεαι* (zu VI 9 20).

10. *σὺ δέ* = *ἀλλά* (I 17 9). — *ἀνάξεις* darf keinen Anstofs geben. Als Ausgang des Zuges ist die asiatische Küste gedacht. Ähnlich I 94 35. Il. *ι* 338 *τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' (ἐς Τροίην) ἀγείρας Ἀτρεΐδης;*

12 f. Verb. *Μαρδόνιον διαφορεύμενον*. Zu letzterem steht *ἐξεργασάμενον* u. weiter *γνόντα* appositiv.

13. *κυνῶν τε καὶ ὀρνίθων*, nach homerischer Weise verbunden. — *διαφορέεσθαι* = *διασπᾶσθαι* (III 13 7), *ἕλκεσθαι* (I 140 5). Denn die Hellenen begruben die erschlagenen Feinde nicht (s. IX 83 5). Seltsam aber dafs H. den Perser gerade diejenige Todesart als die unseligste voraussetzen läfst, die, nach seinem eigenen Zeugnisse (I 140), jedem Avesta-Gläubigen vielmehr die erwünschteste und allein gottgefällige sein mufste. Vgl. zu c. 46 17.

14. *σέ γε*, homerische Anaphora des Subjekts; zu II 173 19. Von besonderer Wirkung ist dabei die erneuerte Apostrophe, nachdem mit *Μαρδόνιον* die Rede schon zur dritten Person übergegangen war.

15. *γνόντα, expertum*. — *ἐπ' οἵους . .*: damit kehrt der Redner zum Hauptthema (*α*) zurück.

11 3. *μηδένα*, im Anschlufs an die in *ῥύσεται* angedeutete Negation. Vgl. I 86 12. II 7 8. IV 78 5. V 101 1. VII 194 14. IX 12 6.

4. *καὶ* 'jedoch' (V 21 7).

7 ff. *μὴ γὰρ εἴην . . .*, d. h. ich würde mich ja der langen und stolzen Reihe meiner königlichen Ahnen unwert erweisen. — Nach dieser Aufzählung würde Xerxes in gerader Linie aufwärts bis Achaemenes neun Ahnen haben. Offenbar ist aber der 6. in der Reihe, Kyros, der Zeitgenosse des 2., Hystaspes (I 209), und irrtümlich die seit Teïspes sich abzweigende jüngere Linie des Hauses mit der älteren in eine Reihe zusammengeschoben. In der That konnte Xerxes als Tochtersohn des Kyros auch die Glieder der älteren Linie als Ahnen in An-

εἴην ἐκ Δαρείου τοῦ Ὑστάσπεος τοῦ Ἀρσάμεος τοῦ Ἀριαράμνεω τοῦ Τεΐσπεος τοῦ Κύρου τοῦ Καμβύσεω τοῦ Τεΐσπεος τοῦ Ἀχαιμένεος γεγονώς, μὴ τιμωρησάμενος Ἀθηναίους, εὖ ἐπιστάμενος ὅτι εἰ ἡμεῖς ἡσυχίην ἄξομεν, ἀλλ' οὐκ ἐκεῖνοι, ἀλλὰ καὶ μάλα στρατεύσονται ἐπὶ τὴν ἡμετέρην, εἰ χρὴ σταθμώσασθαι τοῖσι ὑπαργμένοισι ἐξ ἐκείνων, οἳ Σάρδις τε ἐνέπρησαν καὶ ἤλασαν ἐς τὴν Ἀσίην. οὔκων ἐξαναχωρέειν οὐδετέροισι δυνατῶς ἔχει, ἀλλὰ ποιέειν ἢ παθεῖν πρόκειται ἀγών, ἵνα ἢ τάδε πάντα ὑπὸ Ἕλλησι ἢ ἐκεῖνα πάντα ὑπὸ Πέρσῃσι γένηται· τὸ γὰρ μέσον οὐδὲν τῆς ἔχθρης ἐστί. καλὸν ὦν προπεπονθότας ἡμέας τιμωρέειν ἤδη γίνεται, ἵνα καὶ τὸ δεινὸν τὸ πεί-

spruch nehmen. Beseitigt man das Versehen und die Verdoppelung des Teïspes, und ergänzt zugleich aus I 111 29 das fehlende *τοῦ Κύρου* hinter *Καμβύσεω*, so ergiebt sich als richtige Stammtafel:



Damit stimmt überein die wiederholte Angabe des Dareios in seinen Inschriften zu Behistan (I 2 f. und Inschr. A): ‘Mein Vater ist *Vištâspa*, des Vištâspa Vater *Arsâma*, des Arsâma Vater *Ariyâramna*, des Ariâramna Vater *Caispis*, des Caispis Vater *Hakhâmanis*. Darum werden wir Hakhâmanisiyâ genannt; von alters her sind wir erprobt; von alters her waren unsere Familie Könige. Acht meiner Familie waren früher Könige; ich bin der neunte, von sehr langer Zeit her (?) sind wir Könige.’ Über den ganzen Bestand des Hauses bis auf Xerxes, soweit es aus H. bekannt ist, giebt beifolgende Tafel eine Übersicht.

12. *καὶ μάλα veliterum* (I 134 16).

14 f. Ein chronologisches Hysteronproteron.

16. *πρόκειται ἀγών*, ‘es gilt, es handelt sich darum’. Ähnlich IX 60 4. Thuk. II 89 *ὁ δὲ ἀγὼν μέγας ὑμῖν ἢ καταλῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ ἢ ἐγγυτέρω στῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς θαλάσσης*. Od. χ 65 *νῦν ὑμῖν παράκειται ἐναντίον ἠὲ μάχεσθαι Ἢ φεύγειν*. Eurip. Med. 235 *κἀν τῷδ' ἀγὼν μέγιστος ἢ κακὸν λαβεῖν Ἢ χρηστόν*. Cic. Phil. III 29 *res in id discrimen adducta est, utrum ille rei publicae poenas luat an nos serviamus*. Goethe ‘Ambos oder Hammer sein’.

17 f. *τὸ μέσον*, zwischen dem eben aufgestellten Gegensatze, der dann aber in *ἔχθρης* noch einmal in neuer Wendung ausgedrückt wird, ‘denn zwischen unseren feindlichen Gesinnungen giebt es keine Vermittlung’. — Verb. *καλὸν γίνεται*. — *τιμωρέειν* absol. ‘Rache nehmen’ (I 4 7).

19. *τὸ δεινὸν – τοῦτο*, höhnische Hindeutung auf c. 10 *β* 11.

Stammtafel der Achaemeniden bis auf Artaxerxes I.

(zu Herod. VII 11 8)*).



Unbestimmt: *Artaeos* und sein Sohn *Artachaees*, Zeitgenossen des Xerxes.

Schwiegersöhne des Dareios: *Mardonios*, Daurises, Hymaees, Artochmes, Sisamakes(?), Amorges(?).

*) *x* bezeichnet eine anonyme Tochter oder Frau;
∪ 'verheiratet mit'. — Die Namen der Achaemeniden stehen in Kursivschrift.

σομαι τοῦτο μάθω, ἐλάσας ἐπ᾽ ἄνδρας τούτους, τούς γε καὶ Πέλοψ ὁ Φρύξ, ἐὼν πατέρων τῶν ἐμῶν δοῦλος, κατεστρέψατο οὕτω ὡς καὶ ἐς τόδε αὐτοί τε ὦνθρωποι καὶ ἡ γῆ αὐτῶν ἐπώνυμοι τοῦ καταστρεψαμένου καλέονται.“

Ταῦτα μὲν ἐπὶ τοσοῦτο ἐλέγετο. μετὰ δὲ εὐφρόνη **12** τε ἐγίνετο καὶ Ξέρξην ἔκνιζε ἡ Ἀρταβάνου γνώμη· νυκτὶ δὲ βουλὴν διδοὺς πάγχυ εὕρισκέ οἱ οὐ πρῆγμα εἶναι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. δεδογμένων δέ οἱ αὖτις τούτων κατύπνωσε, καὶ δή κου ἐν τῇ νυκτὶ εἶδε ὄψιν τοιήνδε, ὡς λέγεται ὑπὸ Περσέων· ἐδόκεε ὁ Ξέρξης ἄνδρα οἱ ἐπιστάντα μέγαν τε καὶ εὐειδέα εἰπεῖν „μετὰ δὴ

21. *Φρύξ*: so auch c. 8γ 5 und Soph. Ai. 1292; aber Pindar Ol. I 24. IX 10, dem Lokal der Tantalossage entsprechender, *Δυδός*, Strab. p. 665 *οἱ ποιηταὶ δὲ μάλιστα οἱ τραγικοὶ συγχέοντες τὰ ἔθνη — τοὺς Τρῶας καὶ τοὺς Μυσοὺς καὶ τοὺς Λυδοὺς Φρύγας προσαγορεύουσιν*. Hier kommt für den hellenischen Leser hinzu daſs *Φρύξ* ein häufiger Sklavenname war. — *πατέρων τῶν ἐμῶν*: die Achaemeniden waren, einer damals vielgeglaubten mythischen Genealogie zufolge (zu c. 61 11), Abkommen des Perseus und der Andromeda, des Kepheus Tochter (I 125 14. VII 150 6); Kepheus aber Belos' Sohn und Bruder des Ninos, der das assyrische Reich bis an die Westküsten Asiens, also auch über Phrygien und Lydien ausdehnte (vgl. I 7). So mochte sich die persische Dynastie als die berechtigte Erbin des assyrischen Reiches verkünden. Vgl. auch I 4 15. IX 116 17.

22. Konsekutives *ὡς* nach *οὕτω* noch IX 37 19; nach *τοσοῦτος* VIII 56 3, öfter nach *οὕτω δή τι*.

Schwanken des Königs; seine und des Artabanos Träume. Entscheidung für den Krieg. (c. 13—18).

12. 1. *εὐφρόνη*, poet. Bei H. noch c. 56 3. 188 7. VIII 6 9. 12 1. 14 11. IX 37 19. 39 3; auch bei Hippokrates nicht selten.

2 f. *τε - καί*: die beiden Ereignisse, die sich zeitlich folgen und das erste dem zweiten untergeordnet sein sollten, sind als parallele behandelt. Von diesem häufigen Gebrauche weiteres zu II 93 25. — *ἔκνιζε*: zu c. 10ε 2. — *νυκτὶ — διδούς* ‘der Nacht die Beratung überlassend’; denn die Nacht ist vorzugsweise für *βουλή* geeignet. Epicharmos *αἴτε τι ζατεῖ σοφόν τις νυκτὸς ἐνθυμητέον*. Eurip. Herakl. 994 *καὶ πόλλ᾽ ἔτικτον νυκτὶ συνθακῶν ἀεί*. Sprüchw. *ἐν νυκτὶ βουλή*, ‘guter Rat kommt über Nacht’. Bei Plut. Them. 26 rät jemand dem notbedrängten Themistokles *νυκτὶ φωνήν, νυκτὶ βουλήν, νυκτὶ τὴν νίκην δίδου. καὶ μετὰ κοιμηθεὶς ὁ Θ. ὄναρ ἔδοξεν ἰδεῖν κτλ.* — Verb. *οὐ πάγχυ πρῆγμα εἶναι*. Über die Sperrung zu II 27 2, und über *πρῆγμα εἶναι* ‘erspriefslich, vorteilhaft sein’ zu I 79 4.

5. Das bedächtige *κου* lehnt die Bürgschaft für diese Erzählung der Perser ab. S. zu III 40 1.

6. Von dem erneuerten *ὁ Ξέρξης* s. zu VI 107 4.

7. *ἐπιστάντα*, das gewöhnliche Wort von Traumerscheinungen; zu I 34 4. — *μέγαν — εὐειδέα*: zu I

βουλεύεαι ὦ Πέρσα στράτευμα μὴ ἄγειν ἐπὶ τὴν Ἑλλάδα, προείπας ἁλίζειν Πέρσας στρατόν; οὔτε ὦν μεταβουλευόμενος ποιέεις εὖ, οὔτε ὁ συγγνωσόμενός τοι πάρα· ἀλλ' ὥσπερ τῆς ἡμέρης ἐβουλεύσαο ποιέειν, ταύτην ἴθι τῶν ὁδῶν." τὸν μὲν ταῦτα εἰπόντα ἐδόκεε ὁ Ξέρξης ἀποπτάσθαι, ἡμέρης δὲ ἐπιλαμψάσης ὀνείρου μὲν τούτου λόγον οὐδένα ἐποιέετο, ὃ δὲ Περσέων συναλίσας τοὺς καὶ πρότερον συνέλεξε, ἔλεξέ σφι τάδε. „ἄνδρες Πέρσαι, συγγνώμην μοι ἔχετε ὅτι ἀγχίστροφα βουλεύομαι· φρενῶν τε γὰρ ἐς τὰ ἐμεωυτοῦ πρῶτα οὔκω ἀνήκω, καὶ οἱ παρηγορεύμενοι ἐκεῖνα ποιέειν οὐδένα χρόνον μευ ἀπέχονται. ἀκούσαντι μέντοι μοι τῆς Ἀρταβάνου γνώμης παραυτίκα μὲν ἡ νεότης ἐπέζεσε, ὥστε ἀεικέστερα ἀπορρῖψαι ἔπεα ἐς

112 2. Das nach homerischer Art gedachte Traumbild, ein schattenhaftes wesenloses Ding (εἴδωλον ἀμαυρόν Od. δ 824), im Dienst einer Gottheit (c. 15 11), erborgt sich eine imponierende menschliche Gestalt (V 56 3), um den Schlafenden gewisser zu bethören. Auf der zu c. 8 3 genannten Vase sieht man in der oberen Figurenreihe eine Frauengestalt mit der Beischrift ΑΣΙΑ gegenüber der ΕΛΛΑΣ, und vor ihr stehend die ΑΠΑΤΗ, welche in jeder Hand eine brennende Fackel haltend mit der Rechten auf die Hellas deutet und den Kopf zur Asia hinwendet (Heydemann Vasensammlung des Mus. Nazion. S. 573). — Über das eindringliche δή zu I 115 5. Es veranlafst hier eine Tmesis mit ähnlicher Wirkung wie sonst bei H. öfter ὦν (zu c. 10ε 7), τε (in ἀνά τε ἔδραμον I 66 4 u. s.), μέν und δέ (zu II 141 22) oder ein enkliniertes Pronomen (zu II 181 10). 'Ändern also willst du deinen Entschlufs dahin dafs . . .'

10 f. οὔτε – πάρα, nicht wie sonst *neque tibi adest qui tibi indulgeat* (wie Soph. Antig. 261 οὐδ' ὁ κωλύσων παρῆν *neque aderat quisquam qui prohiberet*), sondern πάρα ist hier = πάρειμι, *neque is tibi adsum qui tibi indulgeam.* ὅδ' ἐγὼ πάρα Kratin. Comic. II 80. Hermipp. II 405.

11. ταύτην τῶν ὁδῶν: VI 129 τῇ κυρίῃ τῶν ἡμερέων, und zu c. 104 4.

13. 1. ἀποπτάσθαι: Il. β 70 ὧς ὅ γε εἰπὼν ᾤχετ' ἀποπτάμενος. Vgl. c. 15 12 ἐπιπτήσεται.

5. ἀγχίστροφος 'bald (nach dem Entschlusse) umwendend, rasch wechselnd', εὐμετάβολος.

6. ἐς τὰ ἐμεωυτοῦ πρῶτα 'die höchste Stufe deren ich fähig bin'. Der König sagt also: 'ich bin noch nicht zu meiner völligen Geistesreife gelangt'. Vgl. V 49 15.

7 f. Mit ἀκούσαντι μέντοι – γνώμης will Xerxes bereits in seine angeblich durch Artabanos bewirkte Sinnesänderung einlenken; da kommt ihm ein dafs eben diese γνώμη ihn tags zuvor zu einer ganz entgegengesetzten Äufserung gereizt hat. Er beseitigt daher zunächst diesen Widerspruch durch die Entschuldigung παραυτίκα μὲν . . , um dann mit νῦν μέντοι συγγνούς auf die neue Meinung zurückzukommen. Vgl. zu I 117 14. — νεότης: Xerxes war bald nach 521 geboren (c. 3 8), also damals über

ἄνδρα πρεσβύτερον [ἢ χρεόν]· νῦν μέντοι συγγνοὺς χρήσομαι τῇ ἐκείνου γνώμῃ. ὡς ὦν μεταδεδογμένον μοι μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἥσυχοι ἔστε."

Πέρσαι μὲν ὡς ἤκουσαν ταῦτα, κεχαρηκότες προσεκύνεον. νυκτὸς δὲ γενομένης αὖτις τὠυτὸ ὄνειρον τῷ Ξέρξῃ κατυπνωμένῳ ἔλεγε ἐπιστάν „ὦ παῖ Δαρείου, καὶ δὴ φαίνεαι ἐν Πέρσῃσί τε ἀπειπάμενος τὴν στρατηλασίην καὶ τὰ ἐμὰ ἔπεα ἐν οὐδενὶ ποιησάμενος λόγῳ ὡς παρ' οὐδενὸς ἀκούσας; εὖ νυν τόδ' ἴσθι· ἤν περ μὴ αὐτίκα στρατηλατέῃς, τάδε τοι ἐξ αὐτῶν ἀνασχήσει· ὡς καὶ μέγας καὶ πολλὸς ἐγένεο ἐν ὀλίγῳ χρόνῳ, οὕτω καὶ ταπεινὸς ὀπίσω κατὰ τάχος ἔσεαι." Ξέρξης μὲν περιδεὴς γενόμενος τῇ ὄψι ἀνά τε ἔδραμε ἐκ τῆς κοίτης καὶ πέμπει ἄγγελον ἐπὶ Ἀρτάβανον [καλέοντα]· ἀπικομένῳ δέ οἱ ἔλεγε Ξέρξης τάδε. „Ἀρτάβανε, ἐγὼ τὸ παραυτίκα μὲν οὐκ ἐφρόνεον εἶπας ἐς σὲ μάταια ἔπεα χρηστῆς εἵνεκα συμβουλίης· μετὰ μέντοι οὐ πολλὸν χρόνον μετέγνων, ἔγνων δὲ ταῦτά μοι ποιητέα ἐόντα τὰ σὺ ὑπεθήκαο. οὔκων

dreifsig J. alt, und hatte schon 479 eine Schwiegertochter (IX 108). — ἐπιζέειν, eig. vom aufsprudelnden und Blasen werfenden Wasser, Aristoph. Thesm. 466 τὸ μέν, ὦ γυναῖκες, ὀξυθυμεῖσθαι (sc. ὑμᾶς) σφόδρα Εὐριπίδῃ τοιαῦτ' ἀκουσάσας κακά, Οὐ θαυμάσιον ἔστ' οὐδ' ἐπιζεῖν τὴν χολήν.

11. ὡς μεταδεδογμένον, absol. Accus., wie εἰρημένον IV 29 6, δεδογμένον Thuk. I 125.

14. 4. καὶ δή, 'also wirklich'.

4 f. ἀπείπασθαι 'ablehnen' (I 205 6. IV 120 20. 125 6. VI 100 3. VII 205 17. IX 7α 8), Ggs. καταινέειν. Vgl. zu I 59 12. Des Königs Widerruf wird als Auflehnung gegen den erhaltenen Befehl gescholten. — οὐδείς, *nullius pretii*, 'unbedeutend', wie c. 20 1. IX 58 11. Vgl. zu I 32 4.

7 f. ἐξ αὐτῶν: zu c. 8γ 3. — ἀνασχήσει 'wird entstehen'. Vgl. ἀναβλαστάνειν III 62 17. — ὡς καὶ μέγας – οὕτω καὶ ταπεινός, wie c. 16γ καὶ ἐμοὶ ὡς καὶ σοί. — μέγας καὶ πολλός: Aristoph. Vög. 488 mit Anspielung auf den 'Grofskönig', vom Περσικὸς ὄρνις: Οὕτω δ' ἰσχνέ τε καὶ μέγας ἦν τότε καὶ πολὺς ὥστ ἔτι καὶ νῦν Ὑπὸ τῆς ῥώμης τῆς τότ' ἐκείνης κτλ., vielleicht eine Parodie dieser Stelle, wie denn jenes Stück noch vier andere unverkennbare Allusionen auf herodotische Angaben enthält (Vs. 552. 1127. 1130. 1145). S. zu I 4 14. 179 5.

15. 1. μέν: zu c. 6 23. — ἀνά τε ἔδραμε 'sprang auf'; zu c. 12 8 und III 78 4.

5. ἐφρόνεον = ἐσωφρόνεον. — μάταια: zu c. 10η 3.

6. μετέγνων, ἔγνων δέ: I 172 ἀπέδοξε, ἔδοξε δέ.

7. οὔκων 'dennoch nicht, so gern ich will' (βουλόμενος). Ähnlich III 137 13. 138 15 mit Bezug

δυνατός τοι εἰμὶ ταῦτα βουλόμενος ποιέειν· τετραμμένῳ γὰρ δὴ καὶ μετεγνωκότι ἐπιφοιτῶν ὄνειρον φαντάζεταί μοι οὐδαμῶς συνεπαινέον ποιέειν με ταῦτα· νῦν δὲ καὶ διαπειλῆσαν οἴχεται. εἰ ἂν θεός ἐστι ὁ ἐπιπέμπων καί οἱ πάντως ἐν ἡδονῇ ἐστι γενέσθαι στρατηλασίην ἐπὶ τὴν Ἑλλάδα, ἐπιπτήσεται καὶ σοὶ τώυτὸ τοῦτο ὄνειρον, ὁμοίως καὶ ἐμοὶ ἐντελλόμενον. εὑρίσκω δὲ ὧδε ἂν γινόμενα ταῦτα, εἰ λάβοις τὴν ἐμὴν σκευὴν πᾶσαν, καὶ ἐνδὺς μετὰ τοῦτο ἵζοιο ἐς τὸν ἐμὸν θρόνον καὶ ἔπειτα ἐν κοίτῃ τῇ ἐμῇ κατυπνώσειας."

16 Ξέρξης μὲν ταῦτά οἱ ἔλεγε· Ἀρτάβανος δὲ οὐ πρώτῳ κελεύσματι πειθόμενος, οἷα οὐκ ἀξιεύμενος ἐς τὸν βασιλήιον θρόνον ἵζεσθαι, τέλος ὡς ἠναγκάζετο εἶπας τάδε
α) ἐποίεε τὸ κελευόμενον. „Ἴσον ἐκεῖνο ᾧ βασιλεῦ παρ' ἐμοὶ κέκριται, φρονέειν τε εὖ καὶ τῷ λέγοντι χρηστὰ ἐθέ-

auf ein adversatives, jedoch nicht wie hier nachfolgendes Particip. Thuk. II 43 *ὁπότε καὶ πεῖρα του σφαλείησαν, οὔκουν (non tamen) καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν.* S. noch zu I 11 17.

8. *τετραμμένῳ* 'bekehrt', sc. *ἐπὶ γνώμην τὴν σήν* (c. 16 *β* 2). Noch c. 18 17. IX 33 24. 34 11.

12. *ἐν ἡδονῇ* = *φίλον* (I 87 21. IV 139 8).

14. 'Das Haupt des Königs bedeckte eine besonders geformte aufrechtstehende Tiara; sie war mit einer weifsen und blauen Binde umgeben, welche auch die 'Verwandten des Königs' kenntlich machte. Seine Kleidung bestand in einem Purpurrock von weifs gemustertem Grund, wie ihn niemand aufser dem Könige tragen durfte, und einem Mantel von glänzendem Purpur darüber. Die Stickerei zeigte Falken oder Habichte, die Vögel des Ahuramasda. Ein goldener Gürtel hielt dies Gewand zusammen und trug den mit Edelsteinen geschmückten Säbel. Wie das Gewand waren die Beinkleider von Purpur; die Schuhe waren mit Safran gefärbt'. Duncker Gesch. d. A. II 608.

16. 2. *οὐκ ἀξιεύμενος, indignum se arbitrans* (I 199 4). Es galt sonst als Hochverrat sich auf den Thron zu setzen und wurde mit dem Tode bestraft (Curt. VIII 4).

16 *α*. Hesiod. *ἔργ.* 293 *οὗτος μὲν πανάριστος ὃς αὐτὸς πάντα νοήσῃ Φρασσάμενος τά τ' ἔπειτα καὶ ἐς τέλος ἥσιν ἀμείνω· Ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται.* Soph. Antig. 720 *φήμ' ἔγωγε πρεσβεύειν πολὺ Φῦναι τὸν ἄνδρα πάντ' ἐπιστήμης πλέων· Εἰ δ' οὖν, φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν, Καὶ τῶν λεγόντων εὖ καλὸν τὸ μανθάνειν.* — *ἴσον ἐκεῖνο*, auffällig st. des Plurals (3). — *κέκριται*: zu V 6 6.

3 ff. *καὶ ἀμφότερα* 'beides' (c. 1 14). — *περιήκοντα, assecutum* (VI 86 *α* 8). — 1 Korinth. XV 33 *μὴ πλανᾶσθε· φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί'* (Menander). Vgl. Aeschyl. zu c. 8 *α* 12. — *χρησιμωτάτην* erinnert an Pindars *ἄριστον μὲν ὕδωρ.*

λειν πείθεσθαι· τά σε καὶ ἀμφότερα περιήκοντα ἀνθρώπων κακῶν ὁμιλίαι σφάλλουσι, κατά περ τὴν πάντων χρησιμωτάτην ἀνθρώποισι θάλασσαν πνεύματα φασὶ ἀνέμων ἐμπίπτοντα οὐ περιορᾶν φύσι τῇ ἑωυτῆς χρᾶσθαι. ἐμὲ δὲ ἀκούσαντα πρὸς σεῦ κακῶς οὐ τοσοῦτο ἔδακε λύπη, ὅσον γνωμέων δύο προκειμενέων Πέρσῃσι, τῆς μὲν ὕβριν αὐξανούσης, τῆς δὲ καταπανούσης καὶ λεγούσης ὡς κακὸν εἴη διδάσκειν τὴν ψυχὴν πλέον τι δίζησθαι αἰεὶ ἔχειν τοῦ παρεόντος, τοιουτέων προκειμενέων γνωμέων ὅτι τὴν σφαλερωτέρην σεωυτῷ τε καὶ Πέρσῃσι ἀναιρέο. νῦν ὦν, ἐπειδὴ
β) τέτραψαι ἐπὶ τὴν ἀμείνω, φῄς τοι μετιέντι τὸν ἐπ' Ἕλληνας στόλον ἐπιφοιτᾶν ὄνειρον θεοῦ τινος πομπῇ, οὐκ ἐῶντά σε καταλύειν τὸν στόλον. ἀλλ' οὐδὲ ταῦτα ἐστὶ ὦ παῖ θεῖα. ἐνύπνια γὰρ τὰ ἐς ἀνθρώπους πεπλανημένα τοιαῦτα ἐστὶ οἷά σε ἐγὼ διδάξω, ἔτεσι σεῦ πολλοῖσι πρεσβύτερος ἐών· πεπλανῆσθαι αὗται μάλιστα ἐώθασι αἱ ὄψιες τῶν ὀνειράτων, τά τις ἡμέρης φροντίζει. ἡμεῖς δὲ τὰς πρὸ τοῦ ἡμέρας ταύτην τὴν στρατηλασίην καὶ τὸ κάρτα εἴχομεν μετὰ χεῖρας. εἰ δὲ ἄρα μή ἐστι τοῦτο τοιοῦτο οἷον ἐγὼ
γ) διαιρέω, ἀλλά τι τοῦ θείου μετέχον, σὺ πᾶν αὐτὸ συλλαβὼν εἴρηκας· φανήτω γὰρ δὴ καὶ ἐμοί, ὡς καὶ σοί, δια-

5. *φασί*: der Sprecher kennt die See nicht.

6. *τῇ ἑωυτῆς φύσι χρᾶσθαι* metaphrasiert Polybios XI 29, wo er das Bild mit Bezug auf die Demagogen ausführt, durch *ἀβλαβῆ καὶ στάσιμον εἶναι.* Liv. XXVIII 27 *sicut natura maris per se immobilis est.* Derselbe nennt XXXVIII 10 das Bild angewendet auf das Gebaren der Volksmenge eine *vulgata similitudo.* Zuerst, wie es scheint, hat es Solon gebraucht: Fr. 12 *ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν Μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.*

7. *λύπη*: das korrespondierende Subjekt liegt in *ὅτι - ἀναιρέο* (11).

9 f. Drei von einander abhängige Infinitive wie V 12 3.

16 *β*. 3. *πομπῇ, missu.* — *οὐκ ἐῶντα, vetantem* (II 30 20). Der Wechsel im Genus (*ὄνειρος – ὄνειρον*) wie I 34 39.

4. *οὐδέ*, als sollte zunächst folgen: 'auch hiervon ist deine Ansicht nicht richtig'. Statt dessen sagt Art. gleich, worin der Irrtum liege.

7. *αὗται*, betonter Hauptbegriff, 'solche Traumbilder pflegen in der Regel vorzuschweben, was einer den Tag über denkt'. — Attius bei Cic. de div. I 45 *res, quae in vita usurpant homines, cogitant curant vident, Quaeque agunt vigilantes agitantque, ea si cui in somno accidunt, Minus mirum est.*

9. *καὶ τὸ κάρτα* 'ganz besonders' (I 71 6).

16 *γ*. 2. *διαιρέω*, auch *διαιρέομαι*,

κελευόμενον. φανῆναι δὲ οὐδὲν μᾶλλόν μοι ὀφείλει ἔχοντι τὴν σὴν ἐσθῆτα ἢ οὐ καὶ τὴν ἐμήν, οὐδέ τι μᾶλλον ἐν κοίτῃ τῇ σῇ ἀναπαυομένῳ ἢ οὐ καὶ ἐν τῇ ἐμῇ, εἴ πέρ γε καὶ ἄλλως ἐθέλει φανῆναι. οὐ γὰρ δὴ ἐς τοσοῦτό γε εὐηθείης ἀνήκει τοῦτο, ὅ τι δή κοτε ἐστί, τὸ ἐπιφαινόμενόν τοι ἐν τῷ ὕπνῳ, ὥστε δόξει ἐμὲ ὁρῶν σὲ εἶναι, τῇ σῇ ἐσθῆτι τεκμαιρόμενον. εἰ δὲ ἐμὲ μὲν ἐν οὐδενὶ λόγῳ ποιήσεται οὐδὲ ἀξιώσει ἐπιφανῆναι, οὔτε ἢν τὴν ἐμὴν ἐσθῆτα ἔχω οὔτε ἢν τὴν σήν, οὐδὲ ἐπιφοιτήσει, τοῦτο ἤδη μαθητέον ἔσται. εἰ γὰρ δὴ ἐπιφοιτήσει γε συνεχέως, φαίην ἂν καὶ αὐτὸς θεῖον εἶναι. εἰ δέ τοι οὕτω δεδόκηται γίνεσθαι καὶ οὐκ οἷά τε αὐτὸ παρατρέψαι, ἀλλ᾽ ἤδη δεῖ ἐμὲ ἐν κοίτῃ τῇ σῇ κατυπνῶσαι, φέρε, τούτων ἐξ ἐμεῦ ἐπιτελευμένων φανήτω καὶ ἐμοί. μέχρι **17** δὲ τούτου τῇ παρεούσῃ γνώμῃ χρήσομαι.“ τοσαῦτα εἴπας Ἀρτάβανος, ἐλπίζων Ξέρξην ἀποδέξειν λέγοντα οὐδέν, ἐποίεε τὸ κελευόμενον. ἐνδὺς δὲ τὴν Ξέρξεω ἐσθῆτα καὶ ἱζόμενος ἐς τὸν βασιλήιον θρόνον ὡς μετὰ ταῦτα κοῖτον ἐποιέετο, ἦλθέ οἱ κατυπνωμένῳ τωὐτὸ ὄνειρον τὸ καὶ παρὰ Ξέρξην ἐφοίτα, ὑπερστὰν δὲ τοῦ Ἀρταβάνου εἶπε ἄρα „σὺ δὴ κεῖνος εἷς ὁ ἀποσπεύδων Ξέρξην στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα ὡς δὴ κηδόμενος αὐτοῦ; ἀλλ᾽ οὔτε ἐς τὸ μετέπειτα οὔτε ἐς τὸ παραυτίκα νῦν κατα-

definio (II 6 2. VII 47 3. 50 2. 103 6).

4 f. *οὐδὲν μᾶλλον – ἢ οὐ καί* ‘in meinem Kleide ebenso gut als in deinem’. S. zu V 94 12.

6. *εἰ – ἄλλως* ‘wenn er nämlich anders, überhaupt’ (VIII 30 8).

10. *εἰ* ‘ob’.

12. Artabanos will die Göttlichkeit des Traumbildes nur zugeben, wenn es ihm ebenso wie dem Könige erscheint. Dafs er zu diesem Zwecke sich als König verkleide, erscheint ihm überflüssig; er thut es aber, um auch diesem Einwande des Xerxes zu begegnen. Er will erproben (*μαθητέον*), ob es fortwährend, ihm wie dem König, erscheinen werde. Erscheint es auch ihm, so fällt die obige Erklärung (*β*); erscheint es nicht, so bleibt sein Zweifel berechtigt.

15. *οὐκ* nach *εἰ*, weil *οὐκ οἷά τε = ἀδύνατα*. Vgl. zu c. 10 θ 11. Vom Plural *οἷα* zu I 4 8.

17. 4. *κοῖτον ἐποιέετο = ἐκοιμᾶτο*. Vgl. c. 193 *ὅρμον οἱ Ξέρξεω ἐποιεῦντο*.

6. *ὑπερστάν*: Il. *β* 20 *στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς* (*ὄνειρος*), u. s.

7. *εἶπε ἄρα*: vgl. I 141 9. IV 134 9. IX 9 7. — *σὺ δή*: vgl. I 115 5. IX 48 3.

8. *ὡς δή*, ironisch (III 143 6).

9. *ἐς τὸ παραυτίκα νῦν* ‘jetzt

προΐξεαι ἀποτράπων τὸ χρεὸν γενέσθαι. Ξέρξην δὲ τὰ δεῖ ἀνηκουστέοντα παθεῖν, αὐτῷ ἐκείνῳ δεδήλωται.“ ταῦτά **18** τε ἐδόκεε Ἀρτάβανος τὸ ὄνειρον ἀπειλέειν καὶ θερμοῖσι σιδηρίοισι ἐκκαίειν αὐτοῦ μέλλειν τοὺς ὀφθαλμούς. καὶ ὃς ἀμβώσας μέγα ἀναθρώσκει, καὶ παριζόμενος Ξέρξῃ, ὡς τὴν ὄψιν οἱ τοῦ ἐνυπνίου διεξῆλθε ἀπηγεόμενος, δεύτερά οἱ λέγει τάδε. „ἐγὼ μέν, ὦ βασιλεῦ, οἷα ἄνθρωπος ἰδὼν ἤδη πολλά τε καὶ μεγάλα πεσόντα πρήγματα ὑπὸ ἡσσόνων, οὐκ ἐων σε τὰ πάντα τῇ ἡλικίῃ εἴκειν, ἐπιστάμενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν, μεμνημένος μὲν τὸν ἐπὶ Μασσαγέτας Κύρου στόλον ὡς ἔπρηξε, μεμνημένος δὲ καὶ τὸν ἐπ᾽ Αἰθίοπας τὸν Καμβύσεω, συστρατευσάμενος δὲ καὶ Δαρείῳ ἐπὶ Σκύθας. ἐπιστάμενος ταῦτα γνώμην εἶχον ἀτρεμίζοντά σε μακαριστὸν εἶναι πρὸς πάντων ἀνθρώπων. ἐπεὶ δὲ δαιμονίη τις γίνεται ὁρμή, καὶ Ἕλληνας, ὡς οἶκε, φθορή τις καταλαμβάνει θείλατος, ἐγὼ μὲν καὶ αὐτὸς τράπομαι καὶ τὴν γνώμην μετατίθεμαι, σὺ δὲ σήμηνον μὲν Πέρσῃσι τὰ ἐκ τοῦ θεοῦ πεμπόμενα, χρᾶσθαι δὲ κέλευε τοῖσι ἐκ σέο πρώτοισι προειρημένοισι ἐς τὴν παρασκευήν, ποίεε δὲ οὕτω ὅκως τοῦ θεοῦ παραδιδόντος τῶν σῶν ἐνδεήσει μηδέν.“ τούτων δὲ λεχθέν- **20** των, ἐνθαῦτα ἐπαερθέντες τῇ ὄψι, ὡς ἡμέρη ἐγένετο τάχιστα, Ξέρξης τε ὑπερετίθετο ταῦτα Πέρσῃσι, καὶ Ἀρτάβανος, ὃς πρότερον ἀποσπεύδων μοῦνος ἐφαίνετο, τότε ἐπισπεύδων φανερὸς ἦν.

gleich’. Vgl. III 36 *μετέπειτα – ὕστερον*. IV 76 *δεύτερα αὖτις. — καταπροΐξεαι, non tibi impune erit* (III 36 33).

10. Vgl. III 65 12. IX 16 21.

18. 5. *δεύτερα = ἔπειτα*, mit Bezug auf *ὡς – διεξῆλθε*.

6. *οἷα ἄνθρωπος ἰδών* ‘als ein Mann der gesehen hat’. Zum Gedanken vgl. c. 10 ε 4.

8. *τῇ ἡλικίῃ*, wie III 36 3.

9 ff. Die dreifachen Participialglieder erneuern und detallieren nur dasselbe Motiv, das schon im einleitenden *οἷα – ἡσσόνων* ausgesprochen ist.

10. *ὡς ἔπρηξε. qualem eventum habuerit*, auch für *τὸν – Καμβύσεω* gültig. Bei *στόλος* noch III 26 2.

14. *ὁρμή, impulsus*.

19. *παραδιδόντος*, sc. *ἐπ᾽ Ἕλληνας στρατεύεσθαι* (zu VI 103 9).

20. *τῶν σῶν*: vgl. III 155 16.

21. *ἐνθαῦτα* beginnt den Hauptsatz nach einem absoluten Genitiv, wie I 80 6. 82 10. V 77 1.

Neuer Traum. Rüstungen; Gröfse des Zuges. Durch-

19 Ὁρμημένῳ δὲ Ξέρξῃ στρατηλατέειν μετὰ ταῦτα τρίτη ὄψις ἐν τῷ ὕπνῳ ἐγένετο, τὴν οἱ Μάγοι ἔκριναν ἀκούσαντες φέρειν τε ἐπὶ πᾶσαν γῆν δουλεύσειν τέ οἱ πάντας ἀνθρώπους. ἡ δὲ ὄψις ἦν ἥδε· ἐδόκεε ὁ Ξέρξης ἐσ-
5 φανῶσθαι ἐλαίης θαλλῷ, ἀπὸ δὲ τῆς ἐλαίης τοὺς κλάδους γῆν πᾶσαν ἐπισχεῖν, μετὰ δὲ ἀφανισθῆναι περὶ τῇ κεφαλῇ κείμενον τὸν στέφανον. κρινάντων δὲ ταῦτα τῶν Μάγων, Περσέων τε τῶν συλλεχθέντων αὐτίκα πᾶς ἀνὴρ ἐς τὴν ἀρχὴν τὴν ἑωυτοῦ ἀπελάσας εἶχε προθυμίην πᾶ-
10 σαν ἐπὶ τοῖσι εἰρημένοισι, θέλων αὐτὸς ἕκαστος τὰ προκείμενα δῶρα λαβεῖν, καὶ Ξέρξης τοῦ στρατοῦ οὕτω ἐπά-
20 γερσιν ποιέεται, χῶρον πάντα ἐρευνῶν τῆς ἠπείρου. ἀπὸ γὰρ Αἰγύπτου ἁλώσιος ἐπὶ μὲν τέσσερα ἔτεα πλήρεα παραρτέετο στρατιήν τε καὶ τὰ πρόσφορα τῇ στρατιῇ, πέμπτῳ δὲ ἔτεϊ ἀνομένῳ ἐστρατηλάτεε χειρὶ μεγάλῃ πλή-
5 θεος. στόλων γὰρ τῶν ἡμεῖς ἴδμεν πολλῷ δὴ μέγιστος οὗτος ἐγένετο, ὥστε μήτε τὸν Δαρείου τὸν ἐπὶ Σκύθας

stich am Athos; Magazine (c. 19—25).

19. 2. *Μάγοι*: vgl. zu I 107 8. — *ἔκριναν* 'auslegten' (I 120 3).

3. *φέρειν*: zu c. 6 23.

5. Den Ölbaum deuteten sich hellenische Leser mit leichter Kombination auf den heiligen Urstamm dieses der Athene geweihten und vorzugsweise attischen Baumes (V 83) auf der athenischen Akropolis (VIII 55), nach deren Einnahme des Königs Glück eine rasche Wendung nahm, worauf sich eben so ungezwungen das plötzliche, von den Magern klüglich übersehene Verschwinden des Ölkranzes beziehen liefs.

6. *ἐπισχεῖν*: vgl. I 108 5.

9. *εἶχε εἰρημένοισι* 'bewies bei der Ausführung der Befehle den gröfsten Eifer, führte sie eifrigst aus'. *ἐπί*, wie in *σπουδάζειν ἐπί τινί*. Ganz anders V 57 10.

10. *αὐτὸς ἕκαστος*, *pro se quisque*. Vgl. III 82 13.

12. *τῆς ἠπείρου*, Asiens.

20. 2. *τέσσερα*, 484—481.

3 f. *τὰ πρόσφορα*, c. 21 ff. 25. 34 ff. näher ausgeführt. — *πέμπτῳ*, im Frühjahr 480 (c. 37 6). — *ἀνομένῳ*, 'im Verlaufe des 5. Jahres'. Der eigentliche Heereszug (*ἐστρατηλάτεε*) begann von Sardis aus im Frühling und gelangte nicht vor der Sonnenwende an die Thermopylen (VII 206). Des Königs Aufmarsch dagegen von Susa über Kritalla nach Sardis (c. 26 ff.) fällt schon in 481 und kommt hier nicht in Betracht. — *χειρὶ – πλήθεος*, *ingenti copiarum manu*. Vgl. c. 60 *πλήθεος ἀριθμόν*, V 52 *σταθμοὶ καταγωγέων*, VI 62 *ἀπάτης παραγωγή*. — *γάρ* knüpft ziemlich locker an *χειρὶ μεγάλῃ πλήθεος* an. Hieraus und aus dem losen sachlichen Verbande erkennt man, dafs der Verf. diesen Exkurs (c. 20 4—21 5) über das Verhältnis des Xerxeszuges zu früheren Expeditionen erst nachträglich zugethan hat.

παρὰ τοῦτον μηδένα φαίνεσθαι, μήτε τὸν Σκυθικόν, ὅτε Σκύθαι Κιμμερίους διώκοντες ἐς τὴν Μηδικὴν χώρην ἐσβαλόντες σχεδὸν πάντα τὰ ἄνω τῆς Ἀσίης καταστρεψάμενοι ἐνέμοντο, τῶν εἵνεκεν ὕστερον Δαρεῖος ἐτιμωρέετο, 10
μήτε κατὰ τὰ λεγόμενα τὸν Ἀτρειδέων ἐς Ἴλιον, μήτε τὸν Μυσῶν τε καὶ Τευκρῶν τὸν πρὸ τῶν Τρωικῶν γενόμενον, οἳ διαβάντες ἐς τὴν Εὐρώπην κατὰ Βόσπορον τούς τε Θρῄικας κατεστρέψαντο πάντας καὶ ἐπὶ τὸν Ἰόνιον πόντον κατέβησαν μέχρι τε Πηνειοῦ ποταμοῦ τὸ πρὸς 15
μεσαμβρίης ἤλασαν. αὗται αἱ πᾶσαι οὐδ' εἰ ἕτεραι πρὸς **21**

7. *μηδένα*: zu c. 14 6.

7 ff. Vgl. I 103. IV 1. 11.

11 ff. *κατὰ τὰ λεγόμενα*, nach der bekannten im Schiffskatalog (Il. *β*) gegebenen Übersicht der hellenischen Streitkräfte. Vgl. Thukyd. I 10. — Die von H. zuerst und selbständig überlieferte Wanderung der Myser und Teukrer ist unter allen vortroischen Begebenheiten die einzige völlig glaubwürdige, und scheint eins zu sein mit dem Zuge der mit jenen stammverwandten Phrygen und Lyder, von der eine weniger klare Kunde auf uns gekommen ist (vgl. zu c. 73 2. VIII 138 10). H. konnte sich dabei, soweit noch zu übersehen, auf folgende Thatsachen stützen: 1. die Paeonen am Strymon beriefen sich auf troische Teukrer als ihre Ahnen (V 13); — 2. paeonische und verwandte Stämme safsen zu H.'s Zeit in zerstreuten Gruppen von den illyrischen Bergen bis zur Propontis, im nördlichen Thessalien in der s. g. pelagonischen (d. i. paeonischen) Tripolis, und Lokalsagen von Dyrrhachion und der Landschaft Kestrine am ionischen Mb. führten auf troisch-phrygische Ansiedler (Appian II 39. Paus. II 23); — 3. die asiatischen Bithyner wollten von Teukrern und Mysern aus ihren Sitzen am Strymon verdrängt worden sein (VII 75); — 4. eine Reihe gleicher Namen von Stämmen und Lokalen auf beiden Seiten des Hellespont (vgl. Strabon p. 590); — 5. bei Homer steht Priamos an der Spitze eines Völkerbundes, in dem die kleinasiatischen Stämme mit den Anwohnern der thrakischen Küste bis zum Axios vereinigt sind. Der Sammelname *Τευκροί* ging in Thrakien in den des mächtigsten Stamms, der Paeonen, auf; in Asien verlor sich auch das Volk bis auf einen geringen Rest (*Γέργιθες*, zu c. 43 13). Spätere Historiker liefsen sich durch die Beispiele der nach Asien übergewanderten Thraken und Galater zu der Annahme verleiten, auch die Teukrer und Myser seien vielmehr von Europa nach Asien gezogene Thraken (Strab. p. 295 u. s.; vgl. c. 73). — *κατὰ Βόσπορον*: eine Spur dieser Richtung liegt vielleicht in dem alten, aber seiner Zeit nach unbestimmten Kriege mit Perinthos (V 1).

15. *τὸ πρὸς μεσαμβρίης*, adverbial, 'im Süden' (zu IV 99 1).

21. 1. *οὐδ'*, statt *καί*, wegen der nachfolgenden Negation des Hauptsatzes (I 84 11. IV 28 19). — *εἰ ἕτεραι* (*εἰσί*), nach Analogie der häufigen Formel *εἴ τις καὶ ἄλλος* (III 2 6) und *καὶ εἴ τις ἄλλος*, nur dafs hier nicht das ganze Prädikat des parallelen Satzgliedes (wie Xen. An. V 3 3 *οἱ δὲ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων καὶ χιόνος καὶ εἴ τις νόσῳ*, sc. *ἀπώλετο*),

ταύτῃσι γενόμεναι στρατηλασίαι μιῆς τῆσδε οὐκ ἄξιαι. τί γὰρ οὐκ ἤγαγε ἐκ τῆς Ἀσίης ἔθνος ἐπὶ τὴν Ἑλλάδα Ξέρξης; κοῖον δὲ πινόμενόν μιν ὕδωρ οὐκ ἐπέλιπε, πλὴν τῶν μεγάλων ποταμῶν; οἳ μὲν γὰρ νέας παρείχοντο, οἳ δὲ ἐς πεζὸν ἐτετάχατο, τοῖσι δὲ ἵππος προσετέτακτο, τοῖσι δὲ ἱππαγωγὰ πλοῖα ἅμα στρατευομένοισι, τοῖσι δὲ ἐς τὰς γεφύρας μακρὰς νέας παρέχειν, τοῖσι δὲ σῖτά τε καὶ νέας.

22 Καὶ τοῦτο μέν, ὡς πταισάντων τῶν πρώτων περιπλεόντων περὶ τὸν Ἄθων, προετοιμάζετο ἐκ τριῶν ἐτέων κου μάλιστα τὰ ἐς τὸν Ἄθων. ἐν γὰρ Ἐλαιοῦντι τῆς Χερσονήσου ὅρμεον τριήρεες· ἐνθεῦτεν δὲ ὁρμώμενοι ὦρυσσον ὑπὸ μαστίγων παντοδαποὶ τῆς στρατιῆς, διάδοχοι δ' ἐφοίτων· ὦρυσσον δὲ καὶ οἱ περὶ τὸν Ἄθων κατοικημένοι. Βουβάρης δὲ ὁ Μεγαβάζου καὶ Ἀρταχαίης ὁ Ἀρταίου ἄνδρες Πέρσαι ἐπέστασαν τοῦ ἔργου. ὁ γὰρ Ἄθως ἐστὶ ὄρος μέγα τε καὶ ὀνομαστόν, ἐς Θάλασσαν κατῆκον, οἰκεόμενον ὑπὸ ἀνθρώπων. τῇ δὲ

sondern nur *εἰσι* zu ergänzen ist, 'etwaige andere'.

2. *ἄξιαι* 'ebenbürtig, vergleichbar' (I 107 11).

4. *κοῖον*, variiert st. *τί*, wie c. 9 11.

5. Die Worte *οἳ μὲν γὰρ* .. bildeten in dem ursprünglichen Texte (s. oben zu c. 20 4) die Ausführung zu c. 20 1—3.

7. *ἅμα στρατευομένοισι* 'indem sie zugleich auch mit ins Feld zogen', d. i. aufser ihren Truppen. Dies gilt natürlich auch von dem folgenden Teil. Denn in der Musterliste (c. 89 ff.) fehlt kein Kontingent.

8. *μακρὰς νέας*, Pentekontoren und Trieren (c. 36 4). Die rundlichen Kauffahrer hätten der Strömung der Meerenge weniger widerstehen können.

9. *νέας*, wie z. B. die Ägyptier, die Proviant und Kriegsschiffe stellten.

22. 1. *τοῦτο μέν* erhält sein Antitheton erst c. 25 1. Vgl. zu IV 76 4. — *ὡς* = *ὥστε* (*ἅτε*), *quippe*, wie IX 11 8. 37 7 u. 16. 41 19. 66 5. — Zur Sache VI 44.

2. *ἐκ τριῶν ἐτέων*, schon ins vierte Jahr, nämlich vor dem Aufbruch (c. 20 4).

3. *κου μάλιστα*, wie I 119 5.

4. *ἐνθεῦτεν ὁρμώμενοι*: vgl. zu V 94 9. Von hier aus lösten sich die Mannschaften der Flotte (*τῆς στρατιῆς*) ab, ward Material und Unterhalt besorgt (c. 23 19), und beherrschte zugleich die Flotte die Einfahrt in den Hellespont und schnitt den hellenischen Handel von seinem reichsten Gebiete ab.

8. *τοῦ ἔργου*: zu c. 35 12.

10. *κατῆκον*, 'bis ans Meer reichend', und zwar unmittelbar, ohne Stufen und Übergänge. Ähnlich c. 33 5 von einem vorspringenden Abhange; aber c. 130 4 von der

τελευτᾷ ἐς τὴν ἤπειρον τὸ ὄρος, χερσονησοειδές τε ἐστὶ καὶ ἰσθμὸς ὡς δυώδεκα σταδίων· πεδίον δὲ τοῦτο καὶ κολωνοὶ οὐ μεγάλοι ἐκ Θαλάσσης τῆς Ἀκανθίων ἐπὶ Θάλασσαν τὴν ἀντίον Τορώνης. ἐν δὲ τῷ ἰσθμῷ τούτῳ, ἐς τὸν τελευτᾷ ὁ Ἄθως, Σάνη πόλις Ἑλλὰς οἴκηται, αἱ δὲ ἐκτὸς Σάνης, ἔσω δὲ τοῦ Ἄθω οἰκημέναι, τὰς τότε ὁ Πέρσης νησιώτιδας ἀντὶ ἠπειρωτίδων ὥρμητο ποιέειν· εἰσὶ δὲ αἵδε, Δῖον Ὀλόφυξος Ἀκρόθωον Θύσσος Κλεωναί. πόλιες μὲν αὗται αἱ τὸν Ἄθων **23** νέμονται, ὤρυσσον δὲ ὧδε δασάμενοι τὸν χῶρον οἱ βάρβαροι κατὰ ἔθνεα· κατὰ Σάνην πόλιν σχοινοτενὲς ποιησάμενοι, ἐπείτε ἐγίνετο βαθέα ἡ διῶρυξ, οἱ μὲν κατώτατα ἑστεῶτες ὤρυσσον, ἕτεροι δὲ παρεδίδοσαν τὸν αἰεὶ ἐξορυσσόμενον χοῦν ἄλλοισι κατύπερθε ἑστεῶσι ἐπὶ βάθρων, οἱ δ' αὖ ἐκδεκόμενοι ἑτέροισι, ἕως ἀπίκοιτο ἐς τοὺς ἀνωτάτω· οὗτοι δὲ ἐξεφόρεόν τε καὶ ἐξέβαλλον. τοῖσι μέν νυν ἄλλοισι πλὴν Φοινίκων καταρρηγνύμενοι

Thalspalte Tempe. Thuk. IV 109 ὁ Ἄθως ὄρος ὑψηλὸν τελευτᾷ ἐς τὸ Αἰγαῖον πέλαγος. — *ἀνθρώπων*: nach Thuk. a. O. ein Gemisch von tyrrhenischen Pelasgern, Bisalten, Krestonen, Edonen und chalkidischen Kolonisten.

11. *χερσονησοειδές*, substantiviertes Adjektiv, 'ein halbinselartiges Land'. Vgl. zu I 84 15.

14. *ἐπί*, wie VI 31 8; *ἐς* VI 36 7. — *τὴν ἀντίον Τορώνης*: genauere Bestimmung c. 122 3. — *ἐν δὲ τῷ ἰσθμῷ*: Thuk. a. O. *πόλεις δὲ ἔχει* (ἡ Ἀκτὴ) *Σάνην μὲν Ἀνδρίων ἀποικίαν παρ' αὐτὴν τὴν διώρυχα ἐς τὸ πρὸς Εὔβοιαν τετραμμένην.*

15. *Σάνη*: eine gleichnamige Stadt führen Her. c. 123. Strabon p. 330 Fr. 27 auf der Westküste der Halbinsel Pallene an. Thukydides kennt nur die auf der Akte, die wie die anderen fünf zum athenischen Städtebund gehörten; in den Inschriften wird sie ohne Unterscheidung genannt.

16. *αἱ δὲ*, sc. *εἰσί*. — Der Standpunkt des Autors ist nördlich: 'jenseits Sanes, aber diesseits des Berges', d. h. zwischen dem Isthmos und dem (eigentlichen) Berge.

18 f. Benennung und Reihenfolge der Städte schwankt bei den Autoren. Thukyd. a. O. *Θύσσον καὶ Κλεωνὰς καὶ Ἀκροθώους καὶ Ὀλόφυξον καὶ Δῖον, αἳ οἰκοῦνται ξυμμίκτοις ἔθνεσι βαρβάρων διγλώσσων.* Strab. p. 331 Fr. 33 *Δῖον Κλεωνὰς Θύσσον Ὀλόφυξιν Ἀκροθώους· αὕτη δὲ πρὸς τῇ κορυφῇ τοῦ Ἄθωνος κεῖται.* Nach Skylax Peripl. 66 lagen *Δῖον Θύσσος Κλεωναί* an der westlichen, *Ἀκρόθωοι Ὀλόφυξις* an der östlichen Küste.

23. 3. *σχοινοτενὲς π.* 'nachdem sie eine schnurgrade Linie gezogen'. Vgl. oben c. 22 11.

6 f. *ἐπὶ βάθρων* 'auf Stufen, Absätzen' der Kanalwände. An eigentliche Leitern ist nicht zu denken. Schon daraus erhellt dafs H. durch ein Volksgerede sich hat täuschen

οἱ κρημνοὶ τοῦ ὀρύγματος πόνον διπλήσιον παρεῖχον· ἅτε γὰρ τοῦ τε ἄνω [στόματος] καὶ τοῦ κάτω τὰ αὐτὰ μέτρα ποιευμένων, ἔμελλέ σφι τοιοῦτο ἀποβήσεσθαι. οἱ δὲ Φοίνικες σοφίην ἔν τε τοῖσι ἄλλοισι ἔργοισι ἀποδείκνυνται καὶ δὴ καὶ ἐν ἐκείνῳ. ἀπολαχόντες γὰρ μόριον ὅσον αὐτοῖσι ἐπέβαλλε, ὤρυσσον τὸ μὲν ἄνω [στόμα] τῆς διώρυχος ποιεῦντες διπλήσιον ἢ ὅσην ἔδεε αὐτὴν τὴν διώρυχα γενέσθαι, προβαίνοντος δὲ τοῦ ἔργου συνῆγον αἰεί· κάτω τε δὴ ἐγίνετο καὶ ἐξισοῦτο τοῖσι ἄλλοισι τὸ ἔργον. ἐνθαῦτα λειμών ἐστι, ἵνα σφι ἀγορή τε ἐγίνετο καὶ πρητήριον· σῖτος δέ σφι πολλὸς **24** ἐφοίτα ἐς τῆς Ἀσίης ἀληλεσμένος. ὡς μὲν ἐμὲ συμβαλλόμενον εὑρίσκειν, μεγαλοφροσύνης εἵνεκεν αὐτὸ Ξέρξης ὀρύσσειν ἐκέλευε, ἐθέλων τε δύναμιν ἀποδείκνυσθαι καὶ μνημόσυνα λιπέσθαι· παρεὸν γὰρ μηδένα πόνον λαβόντας τὸν ἰσθμὸν τὰς νέας διειρύσαι, ὀρύσσειν ἐκέλευε διώρυχα τῇ θαλάσσῃ εὖρος ὡς δύο τριήρεας πλέειν ὁμοῦ ἐλαστρεομένας. τοῖσι δὲ αὐτοῖσι τούτοισι, τοῖσί

lassen, wenn er weiterhin das einzig mögliche und sich gleichsam aufzwingende Verfahren bei dergleichen Arbeiten nur dem berufenen Kunstgeschick (*σοφίη*) der Phoeniken zuschreibt (vgl. VI 47).

12. *ἔμελλε* 'mufste natürlich' (II 43 15).

15. *ἐπέβαλλε, obtingebat* (I 106 4).

18 f. *συνῆγον* 'verengten'. Vgl. I 194 9. — *κάτω τε δὴ . .* 'und als nun . .' Vgl. oben c. 12 2. — *τοῖσι ἄλλοισι*, mit gewohnter Verkürzung st. *τοῖσι τῶν ἄλλων ἔργοισι*.

24. 1. Das Asyndeton wie VIII 66 5. — *μέν* giebt in bescheidener Weise auch anderer Meinung Raum, ohne dafs sie ausdrücklich durch einen entsprechenden Satz mit *δέ* vorgetragen wird. S. zu I 131 4.

2. Xerxes mochte seinem Vater, der den Nilkanal zum roten Meere ausführte (II 158 3. IV 39 6), auch in diesem Stücke nicht nachstehen wollen (vgl. c. 8 *α* 12), und die Vermutung liegt nahe, dafs der kriegerische Zweck der Anlage erst von Hellenen erdichtet sei.

3. Bei *δύναμιν* fehlt wohl *τὴν ἑωυτοῦ*.

4. *μνημόσυνα*: vom Plurale zu VI 109 12. — *μηδένα* sagt viel zu wenig, auch im Verhältnisse zum Kanalbaue, der in dem ebenen und meist weichen Boden kein sonderlich schwieriges Werk sein konnte.

5. Thuk. IV 81 *ὑπερενεγκόντες τὸν Λευκαδίων ἰσθμὸν τὰς ναῦς*, VIII 7 *ὑπερενεγκόντες τὰς ναῦς τὸν ἰσθμόν*, 8 *διαφέρειν* und *διακομίζειν*, Aristoph. Thesm. 648 *διέλκειν*. Offenbar hatte H. den berühmten *δίολκος* bei Korinth vor Augen, jene künstliche Fahrbahn, auf der kleinere Fahrzeuge auf Rollgestellen von einem Meere ins andere geschafft wurden; aber eben nur kleinere.

6. *εὖρος*, sc. *οὕτω εὐρέαν*. Genau so II 158 5.

7. *ἐλαστρεομένας*, mit voller

περ καὶ τὸ ὄρυγμα, προσετέτακτο καὶ τὸν Στρυμόνα ποταμὸν ζεύξαντας γεφυρῶσαι.

Ταῦτα μέν νυν οὕτω ἐποίεε, παρεσκευάζετο δὲ καὶ **25** *ὅπλα ἐς τὰς γεφύρας βύβλινά τε καὶ λευκολίνου, ἐπιτάξας Φοινιξί τε καὶ Αἰγυπτίοισι, καὶ σιτία τῇ στρατιῇ καταβάλλειν, ἵνα μὴ λιμήνειε ἡ στρατιὴ μηδὲ τὰ ὑποζύγια ἐλαυνόμενα ἐπὶ τὴν Ἑλλάδα· ἀναπυθόμενος δὲ τοὺς χώρους καταβάλλειν ἐκέλευε ἵνα ἐπιτηδεότατον εἴη, ἄλλα ἄλλῃ ἀγινέοντας ὁλκάσι τε καὶ πορθμηίοισι ἐκ τῆς Ἀσίης πανταχόθεν. τὸν δὲ ὧν σῖτον ⟨οἳ μὲν⟩ ἐς*

Länge der arbeitenden Riemen. Demetrios aus Skepsis berichtet aus Autopsie (bei Strab. p. 331. fr. 35) dafs der Kanal nur 100 Fufs Breite hatte, die für zwei Trieren mit Ruderwerk nicht ausreichen; bezweifelt auch dafs er jemals benutzt worden sei, da nach einer Strecke von 10 (oder 7, Skymnos 649) Stadien weichen Bodens eine breite Felsbank von einer Stadie Länge dem weiteren Graben ein Ziel gesetzt habe: — was um so glaublicher, als auf dem korinthischen Isthmos noch deutliche Spuren einer Kanalgrabung sichtbar sind, die in ähnlicher Weise durch eine vorliegende Steinschwelle ins Stocken geriet. So erklärt sich dafs der Kanal, dessen Existenz auch Thuk. IV 109 bezeugt, von dessen Benutzung aber sonst nichts verlautet, bald wieder verschüttet ward. Neuere Reisende haben noch einen grofsen Teil der Kanallinie in deutlichen Resten feststellen können.

8. S. c. 114.

25. 2. *ὅπλα* 'Taue' (c. 36 8 u. 17. IX 115 6. 121 2). — *βύβλινα*: vgl. zu II 92 20. — *λευκολίνου*, auch c. 34 3 parallel zu *βύβλινος*. Das Adjektiv *λευκολινής* kommt erst in einer attischen Inschrift des J. 349 (C. I. 155 11) vor. *λευκόλινον*, gewifs eine besondere Hanfart, nicht 'gerösteter Flachs' (Ggs. *ὠμόλινον*) noch überhaupt Flachs, der zum Tauschlag zu schwach ist. *Λευκόλινον* ist nichts anderes als die *λευκέα*, die nach Athen. 5 p. 206 Hiero (II.) zu den Tauen seines Prachtschiffes aus Spanien bezog, also Spartgras, *stipa tenacissima*, welche spanische Pflanze die Phoenizier zu Xerxes Zeit längst kennen und benutzen gelernt hatten'. Hehn Kulturpflanzen p. 144².

4. *καταβάλλειν*, frei an *παρεσκευάζετο* angeschlossen, 'um es für das Heer aufzuspeichern', wie IV 64 *χλαίνας ἐπείνυσθαι ποιεῦσι*, VII 211 *ὑπέστρεφον ἀντίοι εἶναι*, VIII 107 *διαφυλαξούσας τὰς σχεδίας πορευθῆναι βασιλέι*. Es von *ἐπιτάξας* abhängen zu lassen ist schon deshalb unthunlich, weil nicht blofs Phoeniken und Ägyptier den Transport besorgten (7 ff).

6. *καταβάλλειν ἐκέλευε*, Epanalepsis des vorherigen *παρεσκευάζετο καταβάλλειν*, um den Nebenumstand *ἀναπυθόμενος δὲ . .* einzuführen, 'er liefs es aber aufspeichern, nachdem er die Örtlichkeiten hatte aussuchen lassen'. Vgl. III 9 15. V 21 9. 45 25 u. s. — *ἐπιτηδεότατον* 'die geeignetste Stelle' (IV 86 10). Ebenso II 172 11.

7. *πορθμηίοισι* 'Fähren, Bordinge', worin das Getreide über den Hellespont und die Flüsse hinauf geschafft wurde.

8. *τὸν δὲ ὧν σῖτον, frumentum*

Λευκὴν ἀκτὴν καλεομένην τῆς Θρηίκης ἀγίνεον, οἳ δὲ ἐς Τυρόδιζαν τὴν Περινθίων, οἳ δὲ ἐς Δορίσκον, οἳ δὲ ἐς Ἠιόνα τὴν ἐπὶ Στρυμόνι, οἳ δὲ ἐς Μακεδονίην διατεταγμένοι.

26 *Ἐν ᾧ δὲ οὗτοι τὸν προκείμενον πόνον ἐργάζοντο, ἐν τούτῳ ὁ πεζὸς ἅπας συλλελεγμένος ἅμα Ξέρξῃ ἐπορεύετο ἐς Σάρδις, ἐκ Κριτάλλων ὁρμηθεὶς τῶν ἐν Καππαδοκίῃ· ἐνθαῦτα γὰρ εἴρητο συλλέγεσθαι πάντα τὸν κατ' ἤπειρον μέλλοντα ἅμα αὐτῷ Ξέρξῃ πορεύεσθαι στρατόν. Ὃς μέν νυν τῶν ὑπάρχων στρατὸν κάλλιστα ἐσταλμένον ἀγαγὼν τὰ προκείμενα παρὰ βασιλέος ἔλαβε δῶρα, οὐκ ἔχω φράσαι· οὐδὲ γὰρ ἀρχὴν ἐς κρίσιν τούτου πέρι ἐλθόντας οἶδα. οἳ δὲ ἐπείτε διαβάντες τὸν Ἅλυν ποταμὸν ὡμίλησαν τῇ Φρυγίῃ, δι' αὐτῆς*

quidem certe. Was von dem Proviant (*σιτία*) nur allgemein gesagt war, wird von dem Korn insbesondere mit specieller Bestimmtheit angegeben. (Statt *σῖτον* haben die Hss. *πλεῖστον*). — *Λευκὴ ἀκτή* hiefs ein Vgb. an der Propontis, nahe dem thrakischen Chersones, wo Alkibiades später ein festes Haus besafs. Die hier angelegten Magazine versorgten das Heer auf seinem ersten Marsche von Abydos nach Doriskos (c. 58).

10 ff. Stephan. B. *Τυρόδιζα πόλις Θράκης μετὰ Σέρριον*, d. h. nahe der Ebene Doriskos. Da aber diese gleich darauf selbständig genannt wird, ferner *τὴν Περινθίων* eine Lage an der Propontis erheischt, und in der That die attischen Tributlisten die Stadt unter den hellespontischen aufführen (Boeckh Staatsh. II 739), so vermute ich dafs sie identisch war mit der von Skylax 67 dicht hinter *Λευκὴ ἀκτή* angesetzten *Τειρίστασις* (leg. *Τυρόστασις*), und erkenne mit Boeckh in *-δίζα* (*-dizo*) ein bei Orten dieser Gegend öfters wiederkehrendes thrakisches Wort (= *στάσις*), während *Τυρο* auf phoenikischen Ursprung deutet ('Tyrenort'). — Doriskos, Eïon und Therme in Makedonien waren die drei nächsten Haltorte der Armee (c. 58. 113. 127).

11. *τὴν ἐπὶ Στρυμόνι* setzt H. auch VIII 118 3 und Thuk. I 98. IV 50 hinzu, zur Unterscheidung von *Ἠιὼν ἡ ἐπὶ Θράκης* (am thermaischen Mb. auf Chalkidike) *Μενδαίων ἀποικία* (Thuk. IV 7. Steph. B. s. v.).

Von Kritalla nach Sardis. Des Lyders Pythios Reichtum (c. 26—32).

26. *προκείμενος* 'aufgegeben'.

2. *ἅπας*, natürlich mit Ausschlufs der Kontingente aus den westlichen Satrapien, die erst auf dem Weitermarsche hinzustiefsen.

3. *Κρίταλλα*, sonst nicht bekannt, jedenfalls aber jenseits des Halys an der V 52 beschriebenen *ὁδὸς βασιληίη* anzusetzen. Es mufs da ein Knotenpunkt verschiedener Hauptstrafsen gewesen sein.

4. *ἐνθαῦτα*, sc. *ἐν Κριτάλλοισι*.

6. S. c. 8 *δ*.

8. *κρίσιν, certamen* (III 120 12).

10. *ὁμιλέειν* hier in der Bed. *συνεῖναι, συγγίνεσθαι* auf ein Land

πορευόμενοι ἀπίκοντο ἐς Κελαινάς, ἵνα πηγαὶ ἀναδιδοῦσι Μαιάνδρου ποταμοῦ καὶ ἑτέρου οὐκ ἐλάσσονος ἢ Μαιάνδρου, τῷ οὔνομα τυγχάνει ἐὸν Καταρρήκτης, ὃς ἐξ αὐτῆς τῆς ἀγορῆς τῆς Κελαινέων ἀνατέλλων ἐς τὸν Μαίανδρον ἐκδιδοῖ· ἐν τῇ καὶ ὁ τοῦ Σιληνοῦ

angewendet, 'sich aufhalten, befinden'. Ebenso c. 214 13. Pind. Ol. XII 19 *ὁμιλέων παρ' οἰκείαις ἀρούραις*. Eupolis Comic. II 536 *πῶς οὖν οὐκ ἄν τις ὁμιλῶν χαίροι τοιᾶδε πόλει;*

νων ἕκαστα τῇ Ἀθηναίῃ τῇ Ἰλιάδι ἔθυσε βοῦς χιλίας, χοὰς δὲ οἱ Μάγοι τοῖσι ἥρωσι ἐχέαντο. ταῦτα δὲ ποιησαμένοισι νυκτὸς φόβος ἐς τὸ στρατόπεδον ἐνέπεσε. ἅμα 10
ἡμέρῃ δὲ ἐπορεύετο ἐνθεῦτεν, ἐν ἀριστερῇ μὲν ἀπέργων Ῥοίτιον πόλιν καὶ Ὀφρύνειον καὶ Δάρδανον, ἥ περ δὴ Ἀβύδῳ ὅμουρος ἐστί, ἐν δεξιῇ δὲ Γέργιθας Τευκρούς.

Ἐπεὶ δ' ἐγένετο ἐν Ἀβύδῳ [μέσῃ], ἠθέλησε Ξέρξης ἰδέ- **44**
σθαι πάντα τὸν στρατόν· καὶ προεπεποίητο γὰρ ἐπὶ κο-

die troischen Frauen Il. ζ 297 ff. vergeblich flehen. Die Fortdauer dieses Kultus ist auch in Neu-Ilion bezeugt (Xen. Hell. I 1 4. Timaeos Fr. 66. Plut. mor. 557), wo denn auch Alexander d. Gr. der Göttin opferte (Arrian. An. I 11 7).

9. *χοάς*, Totenspenden. — *ἥρωσι*, der troisch-hellenischen Zeit. Vgl. übrigens zu c. 113 10.

10. *φόβος*: zu c. 10 ε 7.

11. *ἀπέργων*, sonst von grenzbildenden Flüssen, Meeren und Gebirgen (I 72 9. 174 10. 204 2. II 99 22. IV 55 3), hier und c. 109 16. 112 5. VIII 35 3 von durchpassierenden Personen, deren Marschlinie als eine Art Abgrenzung nach rechts und links vorgestellt wird.

12. Die drei Orte lagen am Hellespont.

13. *ὅμουρος*, nur 70 Stadien weit davon (Strab. p. 595). — *Γέργιθες* hiefs der Stamm; der danach benannte Hauptort aber mit schwankender Endung *Γέργις Γέργιθος Γέργιθα*, und dessen Einwohner *Γεργίθιοι*, *Γεργῖται* od. *Γεργιθεῖς* (Steph. B.). Er lag an der Ostseite des *Μάρκαιον ὄρος* (Steph. B.), nicht weit von Lampsakos. Xen. Hell. III 1 15 erwähnt ihn als eine *πόλις ἐχυρά*; zu Strabons Zeit existierte diese nicht mehr, aber der Name (*Γεργίθιον*) haftete noch an der Gegend. Die Gergithen leiteten ihren Ursprung von den vordem in diesen Landschaften sefshaften Teukrern ab (V 122 9, vgl. zu c. 20 12). Sie müssen sich einst an der ganzen Westküste bis Miletos ausgedehnt haben; denn auch am Fl. Kaïkos und südlicher bei Kyme wiederholt sich der Name in mehreren Ortschaften (Strab. p. 589. 616); in Milet aber hiefs die eingeborne unterworfene Bevölkerung *Γέργιθες* (Athen. p. 524). Wegen des appositiven *Τευκρούς* vgl. zu I 72 8.

Heer- und Flottenschau in Abydos (c. 44 f.). Des Königs Gespräch mit Artabanos (c. 45—52). Ansprache an die Perser und Übergang über die Brücken (c. 53—56).

44. 2. *καὶ – γάρ* ‘und da’ (I 23 17).

3. ‘In der Nähe der Stelle von Abydos und überhaupt im ganzen Umfange der asiatischen Küstenstrecke, Sestos gegenüber, ist kein einziger Hügel, der zum Überblick von Hellespont und Gestade günstiger gelegen wäre als der spitze, wie von Menschenhand geformte Hügel Mal-tepe (Schatzhügel’), wie eine Krone auf das Vgb. Nagara gesetzt, das weiter denn alle übrigen Vorgebirge der ganzen asiatischen Küste in den Hellespont vorgreift, recht gemacht um dessen glänzenden Spiegel fast in seiner ganzen Länge zu beschauen. Offenbar ist der Mal-tepe die von Herodot angedeutete Stelle.’ v. Prokesch Erinner. III 19. 24 f.

λωνοῦ ἐπίτηδες αὐτῷ ταύτῃ προεξέδρη λίθου λευκοῦ, ἐποίησαν δὲ Ἀβυδηνοὶ ἐντειλαμένου πρότερον βασιλέος, ἐνθαῦτα ὡς ἵζετο, κατορῶν ἐπὶ τῆς ἠιόνος ἐθηεῖτο καὶ τὸν πεζὸν καὶ τὰς νέας, θηεύμενος δὲ ἱμέρθη τῶν νεῶν ἅμιλλαν γινομένην ἰδέσθαι. ἐπεὶ δὲ ἐγένετό τε καὶ ἐνίκων Φοίνικες Σιδώνιοι, ἥσθη τε τῇ ἁμίλλῃ καὶ τῇ στρατιῇ. ὡς δὲ ὥρα πάντα μὲν τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, ἐνθαῦτα ὁ Ξέρξης **46** ἑωυτὸν ἐμακάρισε, μετὰ δὲ τοῦτο ἐδάκρυσε. μαθὼν δέ μιν Ἀρτάβανος [ὁ πάτρως], ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, οὗτος ὢνὴρ φρασθεὶς Ξέρξην δακρύσαντα εἴρετο τάδε. „ὦ βασιλεῦ, ὡς πολλὸν ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σεωυτὸν δακρύεις.“ ὃ δὲ εἶπε „ἐσῆλθε γάρ με λογισάμενον κατοικτῖραι ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τούτων γε ἐόντων τοσούτων οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περίεσται.“ ὃ δὲ ἀμείβετο λέγων „ἕτερα τούτου παρὰ τὴν ζόην πεπόνθαμεν οἰκτρότερα.

3. *προεξέδρη*, auch *ἐξέδρη*, sonst ein Anbau wie eine Loggia oder Balustrade, zu bequemem Sitz in schattiger Kühle und freier Aussicht, hier ein freistehendes hohes Bauwerk, oben zur Fernsicht mit bedeckten Balkonen versehen. Strab. p. 625 *ὑπέρκειται δὲ τῶν Σάρδεων ὁ Τμῶλος εὔδαιμον ὄρος, ἐν τῇ ἀκρωρείᾳ σκοπὴν ἔχον, ἐξέδραν λευκοῦ λίθου, Περσῶν ἔργον, ἀφ' οὗ κατοπτεύεται τὰ κυκλῳ πεδία καὶ μάλιστα τὸ Καϋστριάνιον.*

6. *τὰς νέας*, die man sich am asiatischen Ufer aufgestellt denken soll; vgl. c. 55 12.

7. *ἐνίκων* ‘Sieger waren’.

9. *στρατιή* ‘Flotte’ (V 33 3. VI 97 3. 100 1. VII 97 5. VIII 57 10. 112 7). Aeschyl. Pers. mehrmals so *στράτευμα*. Vgl. V 36 22. VI 43 5.

45. 1. *πάντα*, abwärts von Abydos und den Brücken. — *Ἑλλήσποντον*, wie c. 36 7.

46. 1. *μαθών*: zu c. 37 10.

2. *τὸ πρῶτον, initio*. S. c. 10. 16.

3. *οὐ συμβουλεύων . ., dissuadens*, giebt den Inhalt der *γνώμη*, wie c. 47 7 *οὐκ ἐῶν*.

6. *κεχωρισμένα* ‘verschiedenes’ (I 172 5).

7 f. *ἐσῆλθε γάρ με* ‘freilich, überkam es mich doch’. — H. konstruiert *ἐσελθεῖν* eben so oft mit dem Akkus. als mit dem Dativ; s. zu III 42 17.

9. *εἰ – γε, si quidem* (V 78 3). — *οὐδείς*: zu c. 9 10.

11. *παρά* ‘während’. — *πεπόνθαμεν*: das Perfekt, weil das menschliche Elend nicht minder als die kurze Lebenszeit die zum dauernden Schicksale gewordene Folge

ἐν γὰρ οὕτω βραχέι βίῳ οὐδεὶς οὕτω ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκε, οὔτε τούτων οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις καὶ οὐκὶ ἅπαξ τεθνάναι βούλεσθαι μᾶλλον ἢ ζώειν. αἵ τε γὰρ συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι συνταράσσουσι καὶ βραχὺν ἐόντα μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. οὕτω ὁ μὲν θάνατος μοχθηρῆς ἐούσης τῆς ζόης καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονε· ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών.“

jener göttlichen Eifersucht und Mifsgunst ist, welche gleich von Anbeginn das Geschlecht mit einer Fülle von Leiden ausgestattet hat. Vgl. 19 *γέγονε*.

12. Verb. *οὕτω εὐδαίμων πέφυκε ἄνθρωπος ἐών*: ‘trotz dieser Kürze des Lebens kann es doch niemand, gemäfs seiner menschlichen Natur, zu solchem Glücke bringen.’ Zur Sperrung von *οὕτω* vgl. II 54 8. III 139 16. IX 45 19.

14. *παραστήσεται* ‘beikommen wird’. — *πολλάκις καὶ οὐκὶ ἅπαξ*: vgl. zu III 25 6.

17 ff. Wie die wehmutsvolle klagende Stimmung, die sich in diesem sententiösen Ergusse darthut, dem ganzen heidnischen Altertum gemein ist (vgl. V 4) und das Hauptmotiv seiner tragischen Dichtungen liefert, so finden sich ähnliche Aufserungen bei hellenischen Autoren aller Zeiten. Von den älteren sind vergleichbar Il. ω 524 *ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι Ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ' ἀκηδέες εἰσίν*. Theogn. 425 *πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον Μηδ' ἐσιδεῖν αυγὰς ὀξέος ἠελίου· Φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι*. Chilons Spruch *τὸν τετελευτηκότα μακάριζε*. Bakchyl. Fr. 3 *θνατοῖσι μὴ φῦναι φέριστον μηδ' ἀελίου προσιδεῖν φέγγος· ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον*. Soph. O. K. 1225 *μὴ φῦναι τὸν ἅπαντα νικᾷ λόγον, τὸ δ' ἐπεὶ φανῇ βῆναι κεῖθεν ὅθεν περ ἥκει πολὺ δεύτερον ὡς τάχιστα*. Oed. T. 1186 ff. Ai. 125. Plat. Axioch. 366 ff. Cic. Tusc. I 48. S. zu I 31 17. — *καταφυγή*: Aeschyl. Fr. 353 *ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί, Ὅσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν*. Tragiker bei Plut. mor. 106 *μηδεὶς φοβείσθω θάνατον ἀπόλυσιν κακῶν*. — *γλυκὺν - αἰῶνα* ‘nachdem er die Süfse des Lebens hat kosten lassen.’ Die Gottheit, selber im Genusse unendlicher Seligkeit, ist eifersüchtig dafs der Mensch ihr darin nicht gleichkomme (vgl. c. 10 ε 8. Genes. III 22), voll Mifsgunst auf sein Glück (Od. ε 122 die klagende Kalypso *ἠγάασθε θεοὶ ὀτῖα ζώοντες*), ja, wie zum grausamen Hohne, läfst sie ihn durch kurzen Genufs reinen Glückes das nachfolgende Leid um so bitterer empfinden (vgl. I 32 50). Plut. mor. 1107, der die Stelle citiert, fügt geistvoll hinzu: *τοῖς εὐδοκιμεῖν δοκοῦσι δέλεαρ ἐστὶ λύπης τὸ ἡδύ γενομένοις ὧν στερήσονται*. — Artabanos, der mit solcher Mahnung an die Unbeständigkeit des Menschenglückes (vgl. I 207) den König noch im letzten Augenblick von dem entscheidenden Schritte abzubringen versucht, führt in diesem Drama wie auch sonst (s. zu IV 83 4) die Rolle des reflektierenden und warnenden Chores. Nur darf man in seinen Worten nicht auch persische Ansicht finden wollen. Denn

47 Ξέρξης δὲ ἀμείβετο λέγων „Ἀρτάβανε, βιοτῆς μέν νυν ἀνθρωπηίης πέρι, ἐούσης τοιαύτης οἵην περ σὺ διαιρέαι εἶναι, παυσώμεθα, μηδὲ κακῶν μεμνώμεθα χρηστὰ ἔχοντες πρήγματα ἐν χερσί· φράσον δέ μοι τόδε· εἴ τοι ἡ ὄψις τοῦ ἐνυπνίου μὴ ἐναργὴς οὕτω ἐφάνη, εἶχες ἂν τὴν ἀρχαίην γνώμην, οὐκ ἐῶν με στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἢ μετέστης ἄν; φέρε τοῦτό μοι ἀτρεκέως εἰπέ.“ ὃ δὲ ἀμείβετο λέγων „ὦ βασιλεῦ, ὄψις μὲν ἡ ἐπιφανεῖσα τοῦ ὀνείρου ὡς βουλόμεθα ἀμφότεροι τελευτήσειε, ἐγὼ δ᾽ ἔτι καὶ ἐς τόδε δείματος εἰμὶ ὑπόπλεος οὐδ᾽ ἐντὸς ἐμεωυτοῦ, ἄλλα τε πολλὰ ἐπιλεγόμενος καὶ δὴ καὶ ὁρῶν τοι δύο τὰ μέγιστα πάντων 48 ἐόντα πολεμιώτατα.“ Ξέρξης δὲ πρὸς ταῦτα ἀμείβετο τοῖσιδε. „δαιμόνιε ἀνδρῶν, κοῖα ταῦτα λέγεις εἶναι δύο μοι πολεμιώτατα; κότερά τοι ὁ πεζὸς μεμπτὸς κατὰ πλῆθος ἐστὶ καὶ τὸ Ἑλληνικὸν στράτευμα φαίνεται πολλαπλήσιον ἔσεσθαι τοῦ ἡμετέρου, ἢ τὸ ναυτικὸν τὸ ἡμέτερον λείψεσθαι τοῦ ἐκείνων, ἢ καὶ συναμφότερα ταῦτα; εἰ γάρ τοι ταύτῃ φαίνεται ἐνδεέστερα εἶναι τὰ ἡμέτερα πρήγματα, στρατοῦ ἂν ἄλλου τις τὴν ταχί- 49 στην ἄγερσιν ποιέοιτο.“ ὃ δ᾽ ἀμείβετο λέγων „ὦ βασιλεῦ, οὔτε στρατὸν τοῦτον, ὅστις γε σύνεσιν ἔχει,

eben der Avesta-glaube, der den Menschen zwischen die Einflüsse guter und böser Mächte stellt und ihn anleitet sch den letzteren zu entziehen, läfst eine so resignierte Lebensansicht nicht zu. — *ἐν αὐτῷ*: vgl. zu c. 8γ 3.

47. 2. *διαιρέαι*: zu c. 17γ 2.

3 f. *μεμνώμεθα*, wie Od. ξ 168; zu V 105 14. — *χρηστὰ – χερσί*, *quoniam nunc temporis florentibus utimur rebus.*

7. *μετέστης*, sc. *τῆς γνώμης* = *μετέγνως* (c. 15 6), *μετέθου τὴν γνώμην* (c. 18 16).

8. *ὄψις μέν*: vgl. c. 36 19.

10. *τελευτήσειε*, *exitum habeat.*

11. *ἐντὸς ἐμεωυτοῦ*, *apud me, mentis compos* (I 119 25). — *ἐπιλεγόμενος* ‘erwägend’.

12. *δύο τὰ μέγιστα*: I 98 *δύο δὲ οἱ τελευταῖοι*, VII 129 *πέντε τῶν δοκίμων*, 149 *μετὰ δύο τῶν σφετέρων*. Auch I 102 *ἔχων δύο ταῦτα ἔθνεα.*

48. 2. *δαιμόνιε ἀνδρῶν*, wie IV 126 3. — *κοῖα ταῦτα λέγεις*, mit gewohnter Kürze st. *κοῖα ἐστὶ ταῦτα τὰ λέγεις*. Über *κοῖα* st. *τίνα* s. zu I 80 18.

3. *μεμπτὸς κατὰ πλῆθος*: vgl. I 77 2 und zu c. 9 11.

7. *πρήγματα* = *δύναμις*, *opes*. *τὴν ταχίστην*, adverbial.

49. 2. Eig. *στρατοῦ τούτου* (*τὸ πλῆθος*). Ähnlich c. 173 20 *τὰς νέας*. — *τοῦτον*, deiktisch. Vgl. c. 130 3.

μεμφοιτ᾽ ἂν οὔτε τῶν νεῶν τὸ πλῆθος· ἢν τε πλεῦνας συλλέξῃς, τὰ δύο τοι τὰ λέγω πολλῷ ἔτι πολεμιώτερα γίνεται. τὰ δὲ δύο ταῦτα ἐστὶ γῆ τε καὶ θάλασσα. οὔτε γὰρ τῆς θαλάσσης ἐστὶ λιμὴν τοσοῦτος οὐδαμόθι, ὡς ἐγὼ εἰκάζω, ὅστις ἐγειρομένου χειμῶνος δεξάμενός σευ τοῦτο τὸ ναυτικὸν φερέγγυος ἔσται διασῶσαι τὰς νέας. καίτοι οὐκὶ ἕνα αὐτὸν δεῖ εἶναι [τὸν λιμένα], ἀλλὰ ⟨πολλοὺς⟩ παρὰ πᾶσαν τὴν ἤπειρον παρ᾽ ἣν δὴ κομίζεαι. οὕτω δὴ ἐόντων τοι λιμένων ὑποδεξίων, μάθε ὅτι αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι καὶ οὐκὶ ὧνθρωποι τῶν συμφορέων. καὶ δὴ τῶν δύο τοι τοῦ ἑτέρου εἰρημένου τὸ ἕτερον ἔρχομαι ἐρέων. γῆ [δὲ] πολεμίη τῇδέ τοι κατίσταται· εἰ θέλει τοι μηδὲν ἀντίξοον καταστῆναι, τοσούτῳ τοι γίνεται πολεμιωτέρη ὅσῳ ἂν προβαίνῃς ἑκαστέρω, τὸ πρόσω αἰεὶ κλεπτόμενος· εὐπρηξίης δὲ οὐκ ἔστι ἀνθρώποισι οὐδεμία πληθώρη. καὶ δή τοι, ὡς οὐδενὸς ἐναντιευμένου, λέγω τὴν χώ-

6. *οὔτε* erhält seinen Gegensatz erst Z. 14 und zwar, wegen der längeren Unterbrechung und der Resumption *καὶ – ἐρέων*, in variierter Form.

8. *φερέγγυος* ‘Gewähr bietend, im Stande’ (V 30 17). — Die Besorgnis ward zweimal gerechtfertigt (VII 188. VIII 12).

11. *ὑποδεξίων* = *ὑποδέκεσθαι δυναμένων*, *capacium*. Der Bildung des von Suidas und Photios lex. s. v. bezeugten Wortes (von *ὑποδέξομαι* od. *ὑπόδεξις*) ist vergleichbar *ἀσπάσιος ἐπόψιος θαυμάσιος*, und viele Epitheta von Göttern wie *ἀκέσιος καθάρσιος ῥύσιος φύξιος*. Ebenso selten *ὑπόδεξις* = *ὑποδοχή* (Il. ι 73. Hippokr.), wegen der lautähnlichen von *δεικνύναι* abgeleiteten Wortformen. Vgl. c. 180 5.

12. I 32 *πᾶν ἐστὶ ἄνθρωπος συμφορή.*

14 f. *δέ*, nach dem ankündigenden *ἔρχομαι ἐρέων*, ist gegen den Gebrauch, der ein Asyndeton verlangt (II 40 4. III 6 3. 80 25. IV 99 6. V 66 1. VI 109 20). — *εἰ θέλει*: zu c. 10δ 7. Aeschyl. Pers. 792 *αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει. Πῶς τοῦτ᾽ ἔλεξας, τίνι τρόπῳ δὲ συμμαχεῖ; Κτείνουσα λιμῷ τοὺς ὑπερπόλλους ἄγαν.*

17 f. *τὸ πρόσω αἰεὶ κλεπτόμενος* ‘jeden Fortschritt erschleichend, dich immer weiter stehlend’, die möglichen Gefahren und Schwierigkeiten hindurch. Schon mit diesem Zusatze macht es der bedächtige Redner fühlbar, wie unzuverlässig die eingangs gemachte Hypothesis *εἰ – καταστῆναι* sei, noch bestimmter aber durch das parenthetische *εὐπρηξίης δὲ . .* ‘es giebt aber für Menschen kein völliges Glück’. Vgl. c. 203 10 ff. *εὐπρηξίης πληθώρη* = *εὐπρηξίη πληθύουσα*. Vgl. zu II 173 3. Bei den Ärzten hiefs *πληθώρη* der Zustand des Körpers *ὅταν ὁμοτίμως ἀλλήλοις αὐξηθῶσιν οἱ χυμοί* (Galen). Nach dieser vorsichtigen Restriktion greift Artabanos in den Worten

19. *καὶ δὴ – λέγω* ‘ich sage also

ρην πλεῦνα ἐν πλέονι χρόνῳ γινομένην λιμὸν τέξεσθαι. ἀνὴρ δὲ οὕτω ἂν εἴη ἄριστος, εἰ βουλευόμενος μὲν ἀρρωδέοι, πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ τῷ **50** ἔργῳ θρασὺς εἴη.“ ἀμείβεται Ξέρξης τοῖσιδε. „Ἀρτάβανε, οἰκότως μὲν σύ γε τούτων ἕκαστα διαιρέαι· ἀτὰρ μήτε πάντα φοβέο μήτε πᾶν ὁμοίως ἐπιλέγεο. εἰ γὰρ δὴ βούλοιο ἐπὶ τῷ αἰεὶ προσφερομένῳ πρήγματι τὸ πᾶν ὁμοίως ἐπιλέγεσθαι, ποιήσειας ἂν οὐδαμὰ οὐδέν· κρέσσον δὲ πάντα θαρσέοντα ἥμισυ τῶν δεινῶν πάσχειν μᾶλλον ἢ πᾶν χρῆμα προδειμαίνοντα μηδαμὰ μηδὲν παθεῖν. εἰ δὲ ἐρίζων πρὸς πᾶν τὸ λεγόμενον μὴ τὸ βέβαιον ἀποδέξῃς, σφάλλεσθαι ὀφείλεις ἐν αὐτοῖσι **10** ὁμοίως καὶ ὁ ὑπεναντία τούτοισι λέξας. τοῦτο μέν νυν ἐπ᾽ ἴσης ἔχει· εἰδέναι δὲ ἄνθρωπον ἐόντα κῶς χρὴ τὸ βέβαιον; δοκέω μὲν οὐδαμῶς. τοῖσι τοίνυν βουλομένοισι

(vgl. V 54 6. VII 49 13), unter Erneuerung der früheren Annahme (*ὡς οὐδ. ἐναντ.*), zu der noch unerklärten Warnung *γίνεται πολεμιωτέρη* zurück.

20. Bei *χώρην* vermifst man *αὐτήν*. Je weiter das Heer zieht, um so gröfser wird die Entfernung von seinen Hilfsquellen und um so schwieriger die Verpflegung.

22. Sall. Cat. 1 *nam et prius quam incipias consulto et, ubi consulueris, mature facto opus est.*

50. 3. *πᾶν* ‘alles Mögliche’, aber gleich unten und öfter (zu I 85 3) in demselben Sinne *τὸ πᾶν*. Vgl. IV 154 *πᾶν ἐπ᾽ αὐτῇ μηχανωμένη* und VII 176 *πᾶν μηχανώμενοι* mit VI 88 *τὸ πᾶν μηχανήσασθαι ἐπ᾽ Αἰγινήτῃσι*. So steht *πᾶν* noch V 37 7. 62 12, *πάντα* VI 128 9. VII 50 14, *ἅπαντα* V 96 5. Zu jenem Wechsel vgl. auch I 1 *προεῖχε ἅπασι* mit I 91 *ἔνερθε ἐὼν τοῖσι ἅπασι*, VII 152 *πάντα λόγον* mit II 123 *πάντα τὸν λόγον*. Wie wenig der Autor auch auf diese Art von Konformität bedacht ist, zeigen Fälle wie die zu I 21 7. 132 10. II 99 22. III 74 16. IV 68 4. VII 41 12 und zu V 12 11 berührten. So wechselt unten 6 *πάσχειν* mit 8 *παθεῖν*, ohne fühlbaren Unterschied. — *ὁμοίως* ‘ohne Unterschied’ (II 39 16).

4. *προσφερομένῳ*: vgl. II 173 4 *τὰ προσφερόμενα*.

6. *ἥμισυ* ‘eine Hälfte’ (IV 72 9. VII 119 14).

7. *μᾶλλον* erneuert und erhöht die Kraft des Komparativs, wie I 31 17. VI 12 20. IX 7 18.

9. Vom Konjunktiv nach *εἰ* zu IV 172 14. — *ἐν αὐτοῖσι*, beim *ἐρίζειν* (zu c. 8*γ* 3).

10. *ὁ – λέξας*, *qui dixerit*. Die Participia des Aorist und Perfect vertreten regelmäfsig auch die des Perfect Futuri.

11. *ἐπ᾽ ἴσης* (sc. *μοίρης*) *ἔχει* ‘hält sich die Wage (I 74 7), läuft auf eins hinaus’, nämlich das eine oder das andere behaupten, wenn doch keines das *βέβαιον* ist. — *κῶς χρή*, an Wert = *οὐ χρή*, *non licet* (c. 11 13).

12. *μέν*: vgl. zu c. 24 1.

ποιέειν ὡς τὸ ἐπίπαν φιλέει γίνεσθαι τὰ κέρδεα, τοῖσι δὲ ἐπιλεγομένοισί τε πάντα καὶ ὀκνέουσι οὐ μάλα ἐθέλει. ὁρᾷς τὰ Περσέων πρήγματα ἐς ὃ δυνάμιος προκεχώ- **15** ρηκε. εἰ τοίνυν ἐκεῖνοι οἱ πρὸ ἐμεῦ γενόμενοι βασιλέες γνώμῃσι ἐχρέωντο ὁμοίῃσι καὶ σύ, ἢ μὴ χρεώμενοι γνώμῃσι τοιαύτῃσι ἄλλους συμβούλους εἶχον τοιούτους, οὐκ ἄν κοτε εἶδες αὐτὰ ἐς τοῦτο προελθόντα· νῦν δὲ κινδύνους ἀναρριπτέοντες ἐς τοῦτο σφέα προηγάγοντο. **20** μεγάλα γὰρ πρήγματα μεγάλοισι κινδύνοισι ἐθέλει καταιρέεσθαι. ἡμεῖς τοίνυν ὁμοιεύμενοι ἐκείνοισι ὥρην τε τοῦ ἔτεος καλλίστην πορευόμεθα, καὶ καταστρεψάμενοι πᾶσαν τὴν Εὐρώπην νοστήσομεν ὀπίσω, οὔτε λιμῷ ἐντυχόντες οὐδαμόθι οὔτε ἄλλο ἄχαρι οὐδὲν παθόντες. **25** τοῦτο μὲν γὰρ αὐτοὶ πολλὴν φορβὴν φερόμενοι πορευόμεθα, τοῦτο δέ, τῶν ἂν κου ἐπιβέωμεν γῆν καὶ ἔθνος, τούτων τὸν σῖτον ἕξομεν· ἐπ᾽ ἀροτῆρας δὲ καὶ οὐ νομάδας στρατευόμεθα ἄνδρας.“ ⊥ λέγει Ἀρτάβανος μετὰ **51** ταῦτα „ὦ βασιλεῦ, ἐπείτε ἀρρωδέειν οὐδὲν ἐᾷς πρῆγμα,

13. *ποιέειν*, ‘handeln’ (II 151 16). — *ὡς τὸ ἐπίπαν* ‘in der Regel’ (IV 68 4).

14. *οὐ μάλα*, ‘nicht eben, nicht sonderlich’ (I 93 1).

15. *ὁρᾷς*: zu c. 10*ε* 1. — *ἐς ὅ*, *quousque* (IV 57 3).

18. *ἄλλους - τοιούτους*, wie sonst *ἕτερος τοιοῦτος* (I 120 34).

20. *ἀναρριπτέοντες*, Metapher vom Würfelspiel. Bekker Anecd. 18 *ἀναρρῖψαι κίνδυνον, παρὰ τὸ ἀναρρῖψαι κύβον, περὶ τῶν ἀφειδῶς ἑαυτοὺς εἰς κινδύνους ἀφιέντων*. Gefahrvolle Kämpfe (*κίνδυνοι*) sind wie Würfelfall von unsicherem Ausgange und Sache des Glückes; wer sie unternimmt, setzt auf sie sein Geschick, wie der Spieler auf die Würfel.

22. *καταιρέεσθαι* = *καταλαμβάνεσθαι* ‘erreicht, gewonnen werden’, mit dem Bilde des siegreichen Wettlaufes (IX 35 5) oder Einholens (VI 29 9. VII 211 14). Vgl. Eurip. Suppl. 749 *φόνῳ καθαιρεῖσθ᾽, οὐ λόγῳ τὰ χρήματα*. Thuk. I 121 *δ δ᾽ ἐκεῖνοι ἐπιστήμῃ προὔχουσι καθαιρετέον ἡμῖν ἐστι μελέτῃ*. Die Präposition wirkt hier nur intensiv, während sie in der Bed. ‘herunternehmen, niederreifsen, stürzen’ ihren lokalen Begriff behält. Vgl. *καταφρονέειν* (I 59 18) u. ä. — *ὥρην*: der Akkusativ wie im homerischen *πλέομεν νύκτας τε καὶ ἦμαρ*. Ähnlich II 2 12. 44 7. VII 125 3. 151 6. 181 3. 203 6. VIII 65 2. 107 4. IX 37 17, auch I 67 25. Hippokr. de aëre 83 *ὄμβροι τε αὐτόθι γίνονται πᾶσαν ὥρην*.

27. *ἐπιβέωμεν* ‘durchziehen’ und darum mit Akkus., wie *ἐπιτρέχειν ἐπιπλέειν* u. ä. Il. *ξ* 226 von der nach Lemnos eilenden Hera *Πειρίην δ᾽ ἐπιβᾶσα*. Soph. Ai. 144 *λειμῶν᾽ ἐπιβάντα*. Zu *τῶν – ἔθνος* vgl. Aeschyl. Pers. 41 *Λυδῶν ὄχλος οἵ τ᾽ ἐπίπαν ἠπειρογενὲς κατέχουσιν ἔθνος*.

σὺ δέ μευ συμβουλίην ἔνδεξαι· ἀναγκαίως γὰρ ἔχει περὶ πολλῶν πρηγμάτων πλεῦνα λόγον ἐκτεῖναι. Κῦρος ὁ Καμβύσεω Ἰωνίην πᾶσαν πλὴν Ἀθηναίων κατεστρέψατο δασμοφόρον εἶναι Πέρσῃσι. τούτους ὦν τοὺς ἄνδρας συμβουλεύω τοι μηδεμιῇ μηχανῇ ἄγειν ἐπὶ τοὺς πατέρας· καὶ γὰρ ἄνευ τούτων οἷοί τε εἰμὲν τῶν ἐχθρῶν κατυπέρτεροι γίνεσθαι. ἢ γὰρ σφέας, ἢν ἕπωνται, δεῖ ἀδικωτάτους γίνεσθαι καταδουλουμένους τὴν μητρόπολιν, ἢ δικαιοτάτους συνελευθεροῦντας. ἀδικώτατοι μέν νυν γινόμενοι οὐδὲν κέρδος μέγα ἡμῖν προσβάλλουσι, δικαιότατοι δὲ γινόμενοι οἷοί τε δηλήσασθαι μεγάλως τὴν σὴν στρατιὴν γίνονται. ἐς θυμὸν ὦν βάλευ καὶ τὸ παλαιὸν ἔπος ὡς εὖ εἰρηται, τὸ μὴ ἅμα
52 ἀρχῇ πᾶν τέλος καταφαίνεσθαι.“ ἀμείβεται πρὸς ταῦτα Ξέρξης „Ἀρτάβανε, τῶν ἀπεφήναο γνωμέων σφάλλεαι κατὰ ταύτην δὴ μάλιστα, ὃς Ἴωνας φοβέαι μὴ μεταβάλωσι, τῶν ἔχομεν γνῶμα μέγιστον, τῷ σύ τε μάρτυς γίνεαι καὶ οἱ συστρατευσάμενοι Δαρείῳ ἄλλοι ἐπὶ Σκύθας, ὅτι ἐπὶ τούτοισι ἡ πᾶσα Περσικὴ στρατιὴ ἐγένετο διαφθεῖραι καὶ περιποιῆσαι, οἳ δὲ δικαιοσύνην καὶ πιστότητα ἐνέδεξαν, ἄχαρι δὲ οὐδέν. πάρεξ δὲ τούτου, ἐν τῇ ἡμετέρῃ καταλιπόντας τέκνα καὶ γυναῖκας καὶ χρήματα οὐδ' ἐπιλέγεσθαι χρὴ νεώτερόν τι ποιήσειν.

28. *νομάδας*, wie Dareios. Vgl. c. 10 *α*.

51. 3. *συ δέ*: über dieses *δέ* beim persönlichen Pronomen und beim Artikel im Nachsatze s. zu I 112 9. — *ἀναγκαίως γὰρ . . .*: der Sprecher entschuldigt dafs er des Redens und Ratens noch immer kein Ende findet.

5. Athen wird als *μητρόπολις* (11) der Ioner zu Ionien gerechnet, das hier ein ethnographischer, nicht geographischer Begriff ist.

7. *μηδεμιῇ μηχανῇ* ‘auf keine Weise, ja nicht’ (I 112 4).

8. *πατέρας* = *προγόνους* (IV 145 17. VII 11 22. 150 10. VIII 22 7). Vgl. *παῖδες* c. 9 *α* 3.

13 f. So geschah es denn auch bei Mykale (IX 103 f.).

15. *μή*: zu c. 172 16.

52. 3. *μεταβάλωσι* ‘umschwenken, abfallen’, sc. *πρὸς τοὺς Ἀθηναίους* (VIII 22 17. IX 6 11). Vgl. VIII 109 3.

4. *τῶν, quorum tamen*. — *μάρτυς γίνεαι* = *μαρτυρέειν ἔχεις* (II 18 1. IV 29 2. V 24 18). Das *γνῶμα* wird ausgeführt mit *ὅτι . .*

7. *καί*, wie Plat. Prot. 313 *τούτων τί χρηστον καὶ πονηρόν*.

10. *ἐπιλέγεσθαι*, sc. *σέ* oder *ἡμᾶς*. — *νεώτερον*: zu III 62 17.

οὕτω μηδὲ τοῦτο φοβέο, ἀλλὰ θυμὸν ἔχων ἀγαθὸν σῷζε οἶκόν τε τὸν ἐμὸν καὶ τυραννίδα τὴν ἐμήν· σοὶ γὰρ ἐγὼ μούνῳ ἐκ πάντων σκῆπτρα τὰ ἐμὰ ἐπιτράπω.“

Ταῦτα εἶπας καὶ Ἀρτάβανον ἀποστείλας ἐς Σοῦσα **53** δεύτερα μετεπέμψατο Ξέρξης Περσέων τοὺς δοκιμωτάτους· ἐπεὶ δέ οἱ παρῆσαν, ἔλεγέ σφι τάδε. „ὦ Πέρσαι, τῶνδ' ἐγὼ ὑμέων χρηίζων συνέλεξα, ἄνδρας τε γενέσθαι ἀγαθοὺς καὶ μὴ καταισχύνειν τὰ πρόσθε ἐργασμένα Πέρσῃσι, ἐόντα μεγάλα τε καὶ πολλοῦ ἄξια, ἀλλ' εἷς τε ἕκαστος καὶ οἱ σύμπαντες προθυμίην ἔχωμεν· ξυνὸν γὰρ πᾶσι τοῦτο ἀγαθὸν σπεύδεται. τῶνδε δὲ εἵνεκα προαγορεύω ἀντέχεσθαι τοῦ πολέμου ἐντεταμένως· ὡς γὰρ ἐγὼ πυνθάνομαι, ἐπ' ἄνδρας στρατευόμεθα ἀγαθούς, τῶν ἢν κρατήσωμεν, οὐ μή τις ἡμῖν ἄλλος στρατὸς ἀντιστῇ κοτε ἀνθρώπων. νῦν δὲ διαβαίνωμεν ἐπευξάμενοι τοῖσι θεοῖσι οἳ Πέρσας λελόγχασι.“

Ταύτην μὲν τὴν ἡμέρην παρεσκευάζοντο ἐς τὴν διά- **54** βασιν· τῇ δὲ ὑστεραίῃ ἀνέμενον τὸν ἥλιον ἐθέλοντες ἰδέσθαι ἀνίσχοντα, θυμιήματά τε παντοῖα ἐπὶ τῶν γεφυρέων καταγίζοντες καὶ μυρσίνῃσι στορνύντες τὴν ὁδόν.

11. *οὕτω, proinde*. Vgl. VI 86 *δ* 7.

13. *σκῆπτρα*: der Plural nach Weise der Tragiker. Soph. O. K. 425 *σκῆπτρα καὶ θρόνους ἔχει*.

53. 4 f. *χρηίζων* mit doppeltem Genetiv, wie zuweilen *δέομαι* (III 157 6. V 40 6). — *ἄνδρας* - *ἀγαθούς*, wie V 2 2.

13. *λέλογχασι* setzt einstige Teilung voraus (Il. *o* 190 Poseidon *ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα*). Die Hauptgötter einer Stadt oder Landschaft als ihre Inhaber (*πολιοῦχοι, γαιήοχοι*) zu betrachten war den Hellenen geläufig genug. Aeschyl. Suppl. 704 *θεοὺς οἳ γᾶν ἔχουσιν*. Thuk. II 74 *θεοὶ ὅσοι γῆν τὴν Πλαταιίδα ἔχετε*. Plat. Kritias 109 *Ἥφαιστος δὲ κοινὴν καὶ Ἀθηνᾶ φύσιν ἔχοντες — μίαν ἅμφω λῆξιν τήνδε τὴν χώραν εἰλήχατον*. Theokr. VII 103 *Ἴλαν Ὁμόλας ἐρατὸν πέδον ὅστε λέλογχας*. Für eine ähnliche Auffassung und Denkweise der Iranier zeugt nur etwa eine Andeutung in einer Inschrift des Dareios (zu III 65 30).

54. 2. *ανέμενον*, vor Beginn der *διάβασις*. — Der Aufgang des heiligen Lichtgestirns, den die Avestabücher in den verschiedensten Wendungen feiern, sollte das grofse Unternehmen weihevoll einleiten, wie auch die Königswahl der Sieben mit diesem Momente verknüpft war (III 84 15).

3 f. Vgl. VIII 99 3 f. Dieselben Dinge auch beim hellenischen Opfer; Aristoph. Wesp. 860 *ἀλλ' ὡς τάχιστα πῦρ τις ἐξενεγκάτω Καὶ μυρρίνας καὶ τὸν λιβανωτὸν ἔνδοθεν, Ὅπως ἂν εὐξώμεσθα πρῶτα τοῖς θεοῖς*.

ὡς δ' ἐπανέτελλε ὁ ἥλιος, σπένδων ἐκ χρυσέης φιάλης Ξέρξης ἐς τὴν θάλασσαν εὔχετο πρὸς τὸν ἥλιον μηδεμίαν οἱ συντυχίην τοιαύτην γενέσθαι, ἥ μιν παύσει καταστρέψασθαι τὴν Εὐρώπην πρότερον ἢ ἐπὶ τέρμασι τοῖσι ἐκείνης γέννηται. εὐξάμενος δὲ ἐσέβαλε τὴν φιάλην ἐς τὸν Ἑλλήσποντον καὶ χρύσεον κρητῆρα καὶ Περσικὸν ξίφος, τὸν ἀκινάκην καλέουσι. ταῦτα οὐκ ἔχω ἀτρεκέως διακρῖναι οὔτε εἰ τῷ ἡλίῳ ἀνατιθεὶς κατῆκε ἐς τὸ πέλαγος, οὔτε εἰ μετεμέλησέ οἱ τὸν Ἑλλήσποντον μαστιγώσαντι καὶ ἀντὶ τούτων τὴν θάλασσαν ἐδωρέετο.

55 ὡς δὲ ταῦτά οἱ ἐπεποίητο, διέβαινον κατὰ μὲν τὴν ἑτέρην τῶν γεφυρέων τὴν πρὸς τοῦ Πόντου ὁ πεζός τε καὶ ἡ ἵππος ἅπασα, κατὰ δὲ τὴν πρὸς τὸ Αἰγαῖον τὰ ὑποζύγια καὶ ἡ θεραπηίη. ἡγέοντο δὲ πρῶτα μὲν οἱ μύριοι Πέρσαι ἐστεφανωμένοι πάντες, μετὰ δὲ τούτους ὁ σύμμικτος στρατὸς παντοίων ἐθνέων. ταύτην μὲν τὴν ἡμέρην οὗτοι, τῇ δὲ ὑστεραίῃ πρῶτοι μὲν οἵ τε ἱππόται καὶ οἱ τὰς λόγχας κάτω τράποντες· ἐστεφάνωντο δὲ καὶ οὗτοι· μετὰ δὲ οἵ τε ἵπποι οἱ ἱροὶ καὶ τὸ ἅρμα τὸ ἱρόν, ἐπὶ δὲ αὐτός τε Ξέρξης καὶ οἱ αἰχμοφόροι καὶ οἱ ἱππόται οἱ χίλιοι, ἐπὶ δὲ τούτοισι ὁ ἄλλος στρατός. καὶ

5. *σπένδων*, wahrscheinlich den heiligen Haoma-saft (vgl. zu I 188 9); denn Weinspenden waren bei den Persern nicht üblich (I 132 4).

8 f. Vom Infin. *καταστρέψασθαι* nach *παύσει* zu V 67 4. — Nach *οὐ πρότερον ἤ* setzt H. den Konjunktiv ohne *ἄν* (I 199 15. IV 196 16. IX 86 6. 87 5. 93 26), das er auch häufig bei *οὐ πρὶν (ἤ)* wegläfst (I 19 12. 32 25. 82 36. VI 82 8. 133 11. VII 197 10. IX 117 5). Vgl. zu IV 172 14. Da hier keine Negation steht, wäre der Infinitiv *γενέσθαι* regelrecht (wie c. 2 5), ist aber hier umgangen worden, um die naheliegende Parallele zu *κατασρέψασθαι* zu vermeiden.

11. *ἀκινάκην* erklärt Pollux I 138, den Darstellungen zu Persepolis entsprechend, *Περσικὸν ξιφίδιόν τι τῷ μηρῷ προσηρτημένον*. Vgl. c. 61 8. Er war etwa einen Fufs lang, ziemlich breit, mehr zum Stechen als zum Hauen geeignet, und hieng nach Art unserer Reitersäbel an einem Gurt. — *ταῦτα*: vom Asyndeton bei dieser parenthetischen Anmerkung zu VI 111 8.

55. 2 f. *πρὸς τοῦ Πόντου – πρὸς τὸ Αἰγαῖον*: oben c. 36 beidemal der Genetiv. Vgl. zu II 121 6.

4. Betreffs der Marschordnung vgl. c. 40 f. — *οἱ μύριοι Πέρσαι*, sowohl die Fufsgänger als die Reiter (c. 41 7 u. 13).

αἱ νέες ἅμα ἀνήγοντο ἐς τὴν ἀπεναντίον. ἤδη δὲ ἤκουσα καὶ ὕστατον διαβῆναι βασιλέα πάντων.

Ξέρξης δὲ ἐπεὶ διέβη ἐς τὴν Εὐρώπην, ἐθηεῖτο **56** τὸν στρατὸν ὑπὸ μαστίγων διαβαίνοντα· διέβη δὲ [ὁ στρατὸς αὐτοῦ] ἐν ἑπτὰ ἡμέρῃσι καὶ ἐν ἑπτὰ εὐφρόνῃσι, ἐλινύσας οὐδένα χρόνον. ἐνθαῦτα λέγεται, Ξέρξεω ἤδη διαβεβηκότος τὸν Ἑλλήσποντον, ἄνδρα εἰπεῖν Ἑλλησπόντιον „ὦ Ζεῦ, τί δὴ ἀνδρὶ εἰδόμενος Πέρσῃ καὶ οὔνομα ἀντὶ Διὸς Ξέρξην θέμενος ἀνάστατον τὴν Ἑλλάδα θέλεις ποιῆσαι, ἄγων πάντας ἀνθρώπους; καὶ γὰρ ἄνευ τούτων ἐξῆν τοι ποιέειν ταῦτα."

Ὡς δὲ διέβησαν πάντες, ἐς ὁδὸν ὁρμημένοισι τέρας **57** σφι ἐφάνη μέγα, τὸ Ξέρξης ἐν οὐδενὶ λόγῳ ἐποιήσατο καίπερ εὐσύμβλητον ἐόν· ἵππος γὰρ ἔτεκε λαγόν. εὐσύμβλητον ὧν τῇδε τοῦτο ἐγένετο, ὅτι ἔμελλε μὲν ἐλᾶν στρατιὴν ἐπὶ τὴν Ἑλλάδα Ξέρξης ἀγαυρότατά τε καὶ μεγαλοπρεπέστατα, ὀπίσω δὲ περὶ ἑωυτοῦ τρέχων ἥξειν

12. *ἤδη δὲ ἤκουσα*: zu IV 77 2.

56. 2. *ὑπὸ μαστίγων*: vgl. c. 103 23. 223 14.

6. *εἰδόμενος* wie VI 69 5.

7. Das naive Wort wurde vom Sophisten Gorgias in einer Prunkrede mit pathetischem Ernste vorgebracht: *Ξέρξης ὁ τῶν Περσῶν Ζεύς* (Longin. *π. ὕ.* 1 3). Vgl. auch das Orakelwort c. 220 21.

8. *πάντας*: dieselbe Hyperbel c. 157 8. Aeschyl. Pers. 718 *Ξέρξης κενώσας πᾶσαν ἠπείρου πλάκα.*

Marsch vom Hellespont bis Doriskos. Zählung des Heeres (c. 57—60).

57. 5. *ἀγαυρός* oder *ἄγαυρος*, von *γαίω* (*γαϝ*), st. des gewöhnlichen *γαῦρος*, wie *ἀτενής ἀσπερχές* mit *α* intens., bezeichnet das übermütige kecke Wesen dessen der stolz auf Kraft und Begabung sich seines Vorzugs freut (Hom. *κύδεϊ γαίων*) und ihn mit eitlem Prunk entfaltet. Hier mit besonderem Bezug auf das verglichene Rofs (vgl. die Beschreibung des *ἵππος κυδιόων* und *ἀγλαΐηφι πεποιθώς* Il. *ζ* 506 ff.) Hesiod. Theog. 832 *ταύρου ἐριβρύχεω, μένος ασχέτου, ὅσσαν ἀγαύρου.* Xen. de re eq. X 16 *ἢν δέ τις οὕτως ἀνεζωπυρημένῳ αὐτῷ δῷ τὸν χαλινόν, ἐνταῦθα ὑφ' ἡδονῆς τῷ διὰ τὴν χαλαρότητα τοῦ στομίου λελύσθαι νομίζειν, κυδρῷ μὲν τῷ σχήματι ὑγροῖν δὲ τοῖν σκελοῖν γαυριώμενος φέρεται, παντάπασιν ἐκμιμούμενος τὸν πρὸς ἵππους καλλωπισμόν.*

6. Verb. *ὀπίσω ἥξειν*. — *τρέχειν περὶ ἑαυτοῦ*, von der Rennbahn entlehnt. Läuft der Wettkämpfer um den ausgesetzten Preis, so sucht der Verfolgte sein Leben als Preis des Laufs davon zu tragen. VIII 102 *πολλοὺς πολλάκις ἀγῶνας δραμέονται περὶ σφέων αὐτῶν οἱ Ἕλληνες*, 140 *μὴ ὧν βούλεσθε θέειν περὶ ὑμῶν αὐτῶν*, IX 37 *τρέχων περὶ τῆς ψυχῆς* (wie

ἐς τὸν αὐτὸν χῶρον. ἐγένετο δὲ καὶ ἕτερον αὐτῷ τέρας ἐόντι ἐν Σάρδισι· ἡμίονος γὰρ ἔτεκε ἡμίονον διξὰ ἔχουσαν αἰδοῖα, τὰ μὲν ἔρσενος τὰ δὲ θηλέης· κατύπερθε δὲ ἦν τὰ τοῦ ἔρσενος. τῶν ἀμφοτέρων λόγον οὐδένα ποιησάμενος τὸ πρόσω ἐπορεύετο, σὺν δέ οἱ ὁ πεζὸς
58 στρατός. ὁ δὲ ναυτικὸς ἔξω τὸν Ἑλλήσποντον πλέων παρὰ γῆν ἐκομίζετο, τὰ ἔμπαλιν πρήσσων τοῦ πεζοῦ. ὃ μὲν γὰρ πρὸς ἑσπέρην ἔπλεε, ἐπὶ Σαρπηδονίης ἄκρης ποιεύμενος τὴν ἄπιξιν, ἐς τὴν αὐτῷ προείρητο ἀπικομένῳ περιμένειν· ὁ δὲ κατ' ἤπειρον στρατὸς πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς ἐποιέετο τὴν ὁδὸν διὰ τῆς Χερσονήσου, ἐν δεξιῇ μὲν ἔχων τὸν Ἕλλης τάφον τῆς Ἀθάμαντος, ἐν ἀριστερῇ δὲ Καρδίην πόλιν, διὰ μέσης δὲ πορευόμενος πόλιος τῇ οὔνομα τυγχάνει ἐὸν Ἀγορή. ἐνθεῦτεν δὲ κάμπτων τὸν κόλπον τὸν Μέλανα καλεόμενον καὶ Μέλανα ποταμόν, οὐκ ἀντισχόντα τότε τῇ στρατιῇ τὸ ῥέεθρον ἀλλ' ἐπιλιπόντα, τοῦτον τὸν ποταμὸν διαβάς, ἐπ' οὗ καὶ ὁ κόλπος οὗτος τὴν ἐπωνυμίην ἔχει, ἦιε πρὸς ἑσπέρην, Αἶνόν τε πόλιν Αἰολίδα

H. Il. χ 161), auch VIII 74 *περὶ τοῦ παντὸς ἤδη θέοντες*. Und eben vom Hasen sagte das Sprichwort *λαγὼς τὸν περὶ τῶν κρεῶν* (sc. *δρόμον*) *τρέχει* (Zenob. V 85).

7 ff. Auch dies Portentum sollte in ähnlicher Weise den Umschlag vordeuten: kühn als ein Mann zog der König aus, aber in weibischer Flucht kehrte er heim. — *ἔτεκε*: schon dies war ein *τέρας*; zu III 151 10.

10. *τῶν*, mit entferntem Bezuge (II 126 11).

58. 1. *ὁ ναυτικός*, sc. *στρατός*, 'Flotte' (VI 43 5). — *ἔξω – πλέων*: V 103 9 *ἐκπλώσαντες ἔξω τὸν Ἑλλήσποντον*.

3. *πρὸς ἑσπέρην*, zunächst bis ins ägäische Meer, dann aber geradaus nordwärts. — Das Vgb. Sarpedon (h. Kap Paxi od. Gremia) bildet den nördlichen Endpunkt des Mb. (h. Golf von Saros).

5. *πρὸς ἠῶ – ἀνατολάς*, ein dem Her. geläufiger Pleonasmus; zu I 201 4.

7. *Ἕλλης τάφον*, bei der Stadt Paktye.

9. *Ἀγορή*, mitten zwischen Kardia und Paktye, auf dem Isthmos der die Halbinsel mit dem Festlande verbindet (Skylax 67), so genannt, weil die Nachbarn hier auf der Grenze ihren Markt hielten. Vgl. VI 36.

11. *ἀντέχειν* 'standhalten, ausreichen'.

12. *τὸ ῥέεθρον*, accus. relationis, wie c. 43 4. 196 10.

14f. Strab. p. 331 Fr. 52 *πρὸς δὲ τῇ ἐκβολῇ τοῦ Ἕβρου διστόμου ὄντος πόλις Αἶνος ἐν τῷ Μέλανι κόλπῳ κεῖται, κτίσμα Μυτιληναίων, ἔτι δὲ πρότερον Ἀλωπεκοννησίων*. — Die Doppelpartikel *τε καί* zeigt an dafs der

καὶ Στεντορίδα λίμνην παρεξιών, ἐς ὃ ἀπίκετο ἐς Δορίσκον. ὁ δὲ Δορίσκος ἐστὶ τῆς Θρηίκης αἰγιαλός
59 τε καὶ πεδίον μέγα, διὰ δὲ αὐτοῦ ῥέει ποταμὸς μέγας Ἕβρος· ἐν τῷ τείχός τε ἐδέδμητο βασιλήιον τοῦτο τὸ δὴ Δορίσκος κέκληται, καὶ Περσέων φρουρὴ ἐν αὐτῷ κατεστήκεε ὑπὸ Δαρείου ἐξ ἐκείνου τοῦ χρόνου ἐπείτε ἐπὶ Σκύθας ἐστρατεύετο. ἔδοξε ὦν τῷ Ξέρξῃ ὁ χῶρος εἶναι ἐπιτήδεος ἐνδιατάξαι τε καὶ ἐξαριθμῆσαι τὸν στρατόν, καὶ ἐποίεε ταῦτα. τὰς μὲν δὴ νέας τὰς πάσας ἀπικομένας ἐς Δορίσκον οἱ ναύαρχοι κελεύσαντος Ξέρξεω ἐς τὸν αἰγιαλὸν τὸν προσεχέα Δορίσκῳ ἐκόμισαν, ἐν τῷ Σάλῃ τε Σαμοθρηικίῃ πεπόλισται πόλις καὶ Ζώνη, τελευτᾷ δὲ αὐτοῦ Σέρρειον ἄκρη ὀνομαστή. ὁ δὲ χῶρος οὗτος τὸ παλαιὸν ἦν Κικόνων. ἐς τοῦτον τὸν αἰγιαλὸν κατασχόντες τὰς νέας ἀνέψυχον ἀνελκύσαντες. ὃ δὲ ἐν τῷ Δορίσκῳ τοῦτον τὸν χρόνον τῆς στρατιῆς ἀριθμὸν

sonst unbekannte stentorische See bei Änos am Ausflufs des Hebros lag (s. zu I 2 9. V 118 3), wo Plin. IV 43 *portus Stentoris* vielleicht aus Mifsverständnis (*λίμνη – λιμήν*) ansetzt. Noch jetzt finden sich dort zwei bedeutende Seen.

59. 2. Die Küste bildet noch heute ein reiches Weideland, die s. g. Maritza-insel, die von den Armen des Flusses, an dessen Südufer sie liegt, bewässert und umflossen wird.

5. *ἐπείτε*, *cum*. Ebenso IX 26 8. Sonst *ὅτε*. — Nimmt man die Worte genau, so entsteht ein Widerspruch zur Beschreibung des Skythenzuges des Dareios IV 89 f., die eine bedeutend mehr nach der Ostseite Thrakiens fallende Marschlinie ergiebt, auf der D. den Ausflufs des Hebros nicht berührt haben konnte (s. zu IV 90 7). Es ist also vielmehr der Rückmarsch aus Skythien zu verstehen, der allerdings diese Richtung nahm (IV 143) und die Besetzung Thrakiens zur Folge hatte (V 2).

11. *Σαμοθρηικίῃ*: vgl. zu c. 108 7.

12. *τελευτᾷ δὲ αὐτοῦ, finis eius est*. S. zu II 32 18. — *Σέρρειον*, h. Kap Makri. — *ὀνομαστή*, in der Sage von Orpheus, der hier von kikonischen Weibern zerrissen ward. — *χῶρος* 'Landstrich'. Vgl. c. 108 13.

13. *τὸ παλαιόν*, noch in troischer Zeit (Il. β 846. Od. ι 39).

14. *ἀνέψυχον*, wie erschöpfte und vom Lauf erhitzte. Xen. Hell. I 5 10 *ἀνελκύσας τὰς ἐν τῇ Ἐφέσῳ οὔσας ναῦς ἐνενήκοντα ἠσυχίαν ἦγεν ἐπισκευάζων καὶ ἀναψύχων αὐτάς*. Ovid. Met. VI 519 *iamque in sua litora fessis Puppibus exierant*. Da die Schiffe, zumal die Kriegsschiffe, nicht eingerichtet waren zu längerem Aufenthalt und besonders nicht zum Kochen der Speisen, so suchte man abends die Küste, um die Nacht am Lande zuzubringen. Die persische Flotte aber scheint von Abydos nach Doriskos ohne Unterbrechung gefahren zu sein.

15. *ἀριθμός* 'Zählung, Musterung' (VIII 7 13). Xen. An. I 2 9

60 ἐποιέετο. ὅσον μέν νυν ἕκαστοι παρεῖχον πλῆθος ἐς ἀριθμόν, οὐκ ἔχω εἰπεῖν τὸ ἀτρεκές· οὐ γὰρ λέγεται πρὸς οὐδαμῶν ἀνθρώπων· σύμπαντος δὲ τοῦ στρατοῦ τοῦ πεζοῦ τὸ πλῆθος ἐφάνη ἑβδομήκοντα καὶ ἑκατὸν μυριάδες. ἐξηρίθμησαν δὲ τόνδε τὸν τρόπον· συνήγαγόν τε ἐς ἕνα χῶρον μυριάδα ἀνθρώπων, καὶ συννάξαντες ταύτην ὡς μάλιστα εἶχον περιέγραψαν ἔξωθεν κύκλον· περιγράψαντες δὲ καὶ ἀπέντες τοὺς μυρίους αἱμασιὴν περιέβαλον κατὰ τὸν κύκλον, ὕψος ἀνήκουσαν ἀνδρὶ ἐς τὸν ὀμφαλόν· ταύτην δὲ ποιήσαντες ἄλλους ἐσεβίβαζον ἐς τὸ περιοικοδομημένον, μέχρι οὗ πάντας τούτῳ τῷ τρόπῳ ἐξηρίθμησαν. ἀριθμήσαντες δὲ κατὰ ἔθνεα διέτασσον.

u. s. verbindet ἐξέτασιν καὶ ἀριθμὸν ποιεῖν.

60. 8 f. αἱμασιήν, lose geschichtete Mauer (I 180 8), ‘Feldmauer’. — κατά, *secundum*, der Spur der Kreislinie folgend (vgl. I 84 22).

11. μέχρι οὗ = μέχρι (I 181 11).

Aufzählung und Beschreibung des Heeres und der Flotte (c. 61—99).

A. Die Fufstruppen (c. 61—83).

61. Die ausführliche Herzählung der unter Xerxes vereinigten Völkerschaften und ihrer Führer, sowie die genaue Beschreibung ihrer Ausrüstung, hat nicht blofs den Zweck dem Leser eine anschauliche und staunenerregende Übersicht des ungeheuren Heereszuges zu geben, sondern wird auch vom Vf., ganz seiner sonstigen Weise entsprechend (vgl. bes. V 52 ff.), benutzt, um ein reiches und, wie wir annehmen dürfen, grofsenteils neues Wissen über die Bewohner des auch damals noch immer nicht vollständig bekannten persischen Reiches mitzuteilen. Es sind demnach diese Angaben, verbunden mit der III 90 ff. gelieferten Nomen-liste, die bedeutendste Quelle für die ethnographische Kenntnis des alten Orientes. Die Zahl der genannten Völker (c. 61—95) beträgt, einschliefslich des c. 76 1 ausgefallenen Namens und der c. 85 abgesondert aufgeführten Sagartier, einundsechzig, die mit denen der Nomen-liste fast durchaus übereinstimmen, aber nach anderen Rücksichten geordnet sind. Sie zerfallen in vier Hauptgruppen, wovon die erste, unter Vortritt der Perser und Meder, alle östlichen Stämme vom Tigris bis Indus (c. 66—68), die zweite die des Südens (c. 69 bis 71), die dritte die des vorderen Asiens (c. 72—80), die vierte die dienstbaren Küsten- und Inselvölker des östlichen Mittelmeeres (c. 89—95) begreift. Innerhalb jeder Gruppe stehen wiederum diejenigen Völker näher bei einander, die durch Verwandtschaft, gleiche Bewaffnung oder Einheit des Kommandos zusammengehören. Aus welchen Quellen H. das Material der Listen gewonnen, giebt er zwar nicht an, läfst sich aber mit Wahrscheinlichkeit dahin bestimmen, dafs er die Namen der Stämme und ihrer Führer, sowohl der persischen als der einheimischen (c. 96), den amtlichen Verzeichnissen entnahm, die von königlichen Schreibern angefertigt (c. 100), ihm durch Vermittlung des lydischen Satrapen gewifs ebenso leicht zugänglich waren, wie die der Steuerbezirke und der königlichen Etappenstrafsen. Dazu kamen die Heereslisten des Dareios, die in Stein gehauen in Byzantion aufbewahrt wurden (IV 87), und, für die Ausrüstung der einzelnen Abteilungen, das Gemälde des Mandrokles im Heraeon zu Samos (IV 88); endlich, aufser vielerlei mündlichen Mitteilungen persischer und hellenischer Augenzeugen (IX 16), die eigene reiche Anschauung und Erkundigung in den von ihm bereisten Teilen des Reiches. Dafs er hellenischen Vorgängern, wie dem samischen Dichter Choerilos, der in seinen Περσικά gelegentlich der διάβασις über den Hellespont einen solchen κατάλογος eingeflochten hatte, im einzelnen oder ganzen nachgeschrieben, ist nach Bemerkungen wie VI 55 kaum glaublich.

Οἱ δὲ στρατευόμενοι οἵδε ἦσαν, Πέρσαι μὲν ὧδε **61** ἐσκευασμένοι· περὶ μὲν τῇσι κεφαλῇσι εἶχον τιάρας καλεομένους πίλους ἀπαγέας, περὶ δὲ τὸ σῶμα κιθῶνας

2 ff. Objekt zu εἶχον ist πίλους ἀπαγέας, dazu τιάρας καλεομένους Apposition (vgl. III 12 17). Zur Stellung vgl. c. 40 10. — ὁ τιάρας, att. ἡ τιάρα, pers. Wort (Hesych. τιήρη, τὸ ὀξύ. Πέρσαι), bezeichnet einen spitzzulaufenden Filzhut, ein πίλημα πυργωτόν (Strab. p. 734). — ἀπαγής, von πήγνυμι (παγ) geformt (vgl. ἰχθυπαγής, πρωτοπαγής), wie ἀζυγής ἀρραγής ἀτριβής, ungesteift, opp. πεπηγώς (c. 64 6. 70 20), also ‘schlaff’, von haltloser und mehr zufälliger Form (τιάρα ἐπτυγμένη καὶ προβάλλουσα εἰς τὸ μέτωπον Schol. Arist. Av. 487). Nur der König trug sie steif (ὀρθός). Vgl. zu c. 64 5. — τὸ σῶμα, neben dem plur. κεφαλῇσι auch c. 75 2. — κιθών kann allerdings auch den Begriff des θώρηξ, den man wegen σιδηρέης erwartet, mitenthalten, wie öfters bei Homer (χαλκοχίτωνες, χιτὼν χάλκεος und στρεπτός), also ‘Panzerrock aus Eisenschuppen’. ποικίλους wäre dann auf die abwechselnden Farben der λεπίδες zu beziehen. Aber IX 22 werden κιθών und θώρηξ streng geschieden: ἐντὸς θώρηκα εἶχε χρύσεον λεπιδωτόν, κατύπερθε δὲ τοῦ θώρηκος κιθῶνα φοινίκεον ἐνεδεδύκεε. Wozu auch die anderen Berichte stimmen: Xen. Kyr. VI 4 1 ὁ δ’ ἄλλος στρατὸς – ἐξωπλίζετο πολλοῖς μὲν καὶ καλοῖς χιτῶσι πολλοῖς δὲ καὶ καλοῖς θώραξι, VII 1 2 ὡπλισμένοι δὲ πάντες ἦσαν οἱ περὶ τὸν Κῦρον τοῖς αὐτοῖς Κύρῳ ὅπλοις, χιτῶσι φοινικοῖς, θώραξι χαλκοῖς, Strab. p. 734 θώραξ δ ἐστὶν αὐτοῖς φολιδωτός – χιτὼν δὲ χειριδωτός. S. auch I 135 4. VIII 113 10. Vor λεπίδος sind also die den θώρηξ betreffenden Worte weggefallen, etwa ὑπὸ (od. ἐπὶ) δὲ θώρηκας πεποιημένους. Schuppenpanzer finden sich sowohl auf ägyptischen als besonders auf assyrischen Monumenten häufig dargestellt, und in den Ruinen von Nimrud fand Layard eine grofse Anzahl solcher Schuppen, 2—3 Zoll lang, an einem Ende abgerundet, am anderen viereckig, die wahrscheinlich an einer Jacke von Linnen oder Filz befestigt gewesen waren. Doch trugen nicht alle Perser so kostbare Rüstung (VIII 113 10). H. aber hat sich, vermutlich in nahem Anschlufs an ein Gemälde (Xen. Kyr. I 2 13), bei seinen Beschreibungen auf je eine und zwar die eigentümlichste und schönste Waffenart beschränkt, während wohl

χειριδωτοὺς ποικίλους, ... λεπίδος σιδηρέης ὄψιν ἰχθυοειδέος, περὶ δὲ τὰ σκέλεα ἀναξυρίδας, ἀντὶ δὲ ἀσπίδων γέρρα· ὑπὸ δὲ φαρετρεῶνες ἐκρέμαντο· αἰχμὰς δὲ βραχέας εἶχον, τόξα δὲ μεγάλα, ὀιστοὺς δὲ καλαμίνους, πρὸς δὲ ἐγχειρίδια παρὰ τὸν δεξιὸν μηρὸν παραιωρεύμενα ἐκ τῆς ζώνης. καὶ ἄρχοντα παρείχοντο Ὀτάνεα τὸν Ἀμήστριος πατέρα τῆς Ξέρξεω γυναικός, ἐκαλέοντο δὲ πάλαι ὑπὸ μὲν Ἑλλήνων Κηφῆνες, ὑπὸ μέντοι σφέων

jedes gröfsere Kontingent mehrfache Armaturen enthielt. — *λεπίς* ‘Fischschuppe’ (aber *φολίς* ‘Schlangenschuppe’). — *ὄψιν, specie.* — *ἰχθυοειδής* ‘fischschuppenähnlich’; eig. *ἰχθύων λεπίσι ὁμοίη*, mit der bei Vergleichen üblichen Brachylogie (zu I 172 6).

5. *ἀντὶ δὲ ἀσπίδων*, der hellenischen Hopliten.

6. *ὑπὸ δέ*: der Schild wurde gewöhnlich rückwärts getragen und bedeckte dann den Köcher.

8. *ἐγχειρίδια*: zu c. 54 11. — *δεξιόν*: die Denkmäler bestätigen dies. Bei den Hellenen meist auf der linken Seite.

9. *ἐκ τῆς ζώνης*: die Darstellungen zeigen ein besonderes Degengehenk.

11 f. Diese Annahme ist einer der vielen historischen Irrtümer, zu denen sich die Alten durch übereilte unklare Kombinationen von Sagen und Namen verleiten liefsen. *Κηφῆνες* nämlich ist eine alte, ihrem Ursprunge nach dunkle, sicherlich aber mythische Benennung eines in Vorderasien herrschenden Volkes, und identisch mit der der östlichen *Αἰθίοπες* (Apollod. II 4 2. Steph. B. v. *Ἰόπη* u. A.); ihr eponymer König ist Kepheus, des Belos (zu I 7 5. 181 6) Sohn. Wie aber schon diese Genealogie und eine persische Sage (VI 54 4) andeuten, aber auch aus vielen anderen Spuren hervorleuchtet (vgl. zu V 53 5. VII 90 8; Movers Phoen. II 1 276 ff.), sind diese Sagen von Kephenen und Aethiopen nur eine getrübte Kunde von den einst in Vorderasien bis an die Küsten des Mittelmeeres herrschenden Assyriern. Da nun die Vorstellungen von den verschiedenen Völkern, die nach einander die Hegemonie in Asien besafsen, den Assyriern Chaldaeern Medern Persern, nicht blofs bei den Hellenen, sondern auch bei den Asiaten selber sich vermengten und verwirrten (vgl. z. B. c. 11 22), so trug man, durch die überraschende Ähnlichkeit von *Περσεύς* und *Πέρσης* verlockt, nicht nur kein Bedenken den eponymen Stammvater der Perser (*Πέρσης*) auf den hellenischen Perseus als Vater zurückzuführen (vgl. I 125 14. VII 150 6. 220 17), sondern kombinierte nun auch die Perser mit Kepheus, dem mütterlichen Ahnen ihres Stammvaters, selber und schlofs: weil Perses der Enkel des Kepheus ist, so ist sein Volk, die Perser, kein anderes als eben die Kephenen (vgl. zu c. 150 9). Wenn also H. behauptet, die Hellenen hätten vor Alters die Perser Kephenen genannt, so heifst das soviel als: jene Kephenen, von denen die alten Sagen der Hellenen erzählen, sind eben das Volk welches sie heute Perser nennen, — eine Vermutung die sich auf nichts weiter gründet als auf die Verwandtschaft des Perseus einerseits mit Perses und anderseits mit Kepheus. Wobei es merkwürdig dafs der Vf. die Widersprüche zwischen dieser Genealogie und der in I 7

αὐτῶν καὶ τῶν περιοίκων Ἀρταῖοι. ἐπεὶ δὲ Περσεὺς ὁ Δανάης τε καὶ Διὸς ἀπίκετο παρὰ Κηφέα τὸν Βήλου καὶ ἔσχε αὐτοῦ τὴν θυγατέρα Ἀνδρομέδην, γίνεται αὐτῷ παῖς τῷ οὔνομα ἔθετο Πέρσην, τοῦτον δὲ αὐτοῦ καταλείπει· ἐτύγχανε γὰρ ἄπαις ἐὼν ὁ Κηφεὺς ἔρσενος γόνου. ἐπὶ τούτου δὴ τὴν ἐπωνυμίην ἔσχον. Μῆδοι **62** δὲ τὴν αὐτὴν ταύτην ἐσταλμένοι ἐστρατεύοντο· Μηδικὴ γὰρ αὕτη ἡ σκευὴ ἐστι καὶ οὐ Περσική. οἱ δὲ Μῆδοι ἄρχοντα μὲν παρείχοντο Τιγράνην ἄνδρα Ἀχαιμενίδην, ἐκαλέοντο δὲ πάλαι πρὸς πάντων Ἄριοι, ἀπικομένης

übersah. Denn während hier nach der gewöhnlichen Sage Belos der Grofsschwiegervater des Perseus, und dieser der Urgrofsvater des Herakles (zu VI 53 2) ist, gilt dort derselbe Belos als Enkel des Herakles.

12. *Ἀρταῖοι*, abgeleitet von dem noch in vielen Eigennamen (als *Ἀρτάβανος Ἀρταφρένης Ἀρτοξέρξης*) enthaltenen Adjektiv *arta* (Sanskr. *ṛta*), das ‘hoch, erhaben, edel, mächtig’ bedeutet. Vgl. VI 98 17. Auch als Einzelname (c. 22 8. 66 8). Hellanikos brachte den Namen mit der Perseus-Sage in Verbindung und fabelte von einer persischen Landschaft *Ἀρταία* (Steph. B. v.). Wie der sinnverwandte Name *Ἄριοι* (c. 62 5), war auch dieser wohl nur ein auszeichnendes nomen appellativum der eranischen Völker, wenn auch mit der Zeit vorzugsweise auf die Perser angewendet.

13. Eine abweichende Sage VI 54.

14. *ἔσχε*, als Frau (III 31 23). — *γίνεται*: vom häufigen Präsens in dieser Bedeutung zu III 160 12.

15. *αὐτοῦ*, im Reiche des Kepheus, das die älteren Mythographen bald nach Iope an der phönikischen Küste, bald nach Babylon oder Niniveh verlegten; die späteren suchten es zugleich mit den mythischen Äthiopen im südlichen Libyen. Nirgends aber wird Persien selber darunter verstanden. Vgl. zu V 53 5.

16. *ἄπαις – γόνου*: zu I 109 11.

62. 2. *τὴν αὐτὴν ταύτην*, sc. *στολήν*; s. zu I 109 3. III 119 10. Ähnlich c. 72 6. 84 3. — Vgl. zu I 135 2. III 84 5. Strab. p. 525 *ἡ γὰρ νῦν λεγομένη Περσικὴ στολὴ – παρὰ Μήδων ἀφῖκται.*

4. *Τιγράνης*, Sohn des Artabanos (VIII 26), der später bei Mykale das persische Heer befehligte und fiel (IX 96. 102).

5. *Ἄριοι*, wohl zu sondern von den c. 66 1 genannten *Ἄριοι* oder *Ἄρειοι*, vom altpersischen *ariya*, zend. *airya*, sanskr. *árya*, ‘die Würdigen, Edlen’, eine nicht blofs den Medern sondern allen eranisch-medischen Stämmen gemeine alte Benennung, womit sie, im Selbstgefühl ihrer höheren und reineren Art, sich von den unreinen Barbaren (zend. *anairya*) unterschieden, und die noch im heutigen *Erân* fortlebt. Das Vendidad I 6 nennt danach das mythische Ur- und Stammland *Airyana-vaêya*. Dareios nennt sich in seiner Grabinschrift zu Nakschi-Rustam ‘Achämenide, Perser, Sohn eines Persers, Arier, von arischem Samen’. Auch Strabon p. 724 wufste von der Ausdehnung des Namens: *ἐπεκτείνεται τοὔνομα τῆς Ἀριανῆς μέχρι μέρους τινὸς καὶ Περσῶν καὶ Μήδων καὶ ἔτι τῶν*

δὲ Μηδείης τῆς Κολχίδος ἐξ Ἀθηνέων ἐς τοὺς Ἀρίους τούτους μετέβαλον καὶ οὗτοι τὸ οὔνομα. αὐτοὶ περὶ σφέων ὧδε λέγουσι Μῆδοι. Κίσσιοι δὲ στρατευόμενοι τὰ μὲν ἄλλα κατά περ Πέρσαι ἐσκευάδατο, ἀντὶ δὲ τῶν πίλων μιτρηφόροι ἦσαν. Κισσίων δὲ ἦρχε Ἀνάφης ὁ Ὀτάνεω. Ὑρκάνιοι δὲ κατά περ Πέρσαι ἐσεσάχατο, ἡγεμόνα παρεχόμενοι Μεγάπανον τὸν Βαβυλῶνος ὕστερον
63 τούτων ἐπιτροπεύσαντα. Ἀσσύριοι δὲ στρατευόμενοι περὶ μὲν τῇσι κεφαλῇσι εἶχον χάλκεά τε κράνεα καὶ πεπλεγμένα τρόπον τινὰ βάρβαρον οὐκ εὐαπήγητον,

πρὸς ἄρκτον Βακτρίων καὶ Σογδιανῶν· εἰσὶ γάρ πως καὶ ὁμόγλωττοι παρὰ μικρόν. Vgl. die Stelle des Pausanias zu 6. Die heutige Wissenschaft begreift darum unter dem Namen Arier alle diese sprachverwandten Stämme des eranischen Hochlandes.

6. Paus. II 3 8 *Μήδεια δὲ τότε μέν* (nach der Flucht aus Korinth) *ἐλθοῦσα ἐς Ἀθήνας συνῴκησεν Αἰγεῖ, χρόνῳ δὲ ὕστερον φωραθεῖσα ἐπιβουλεύειν Θησεῖ καὶ ἐξ Ἀθηνῶν ἔφυγε, παραγενομένη δὲ ἐς τὴν λεγομένην τότε Ἀρίαν τοῖς ἀνθρώποις ἔδωκε τὸ ὄνομα καλεῖσθαι Μήδους ἀπ' αὐτῆς. τὸν δὲ παῖδα, ὃν ἐπήγετο φεύγουσα ἐς τοὺς Ἀρίους, γενέσθαι λέγουσιν ἐξ Αἰγέως, ὄνομα δέ οἱ Μῆδον εἶναι.* Schon Hesiod. Th. 1000 *ἣ γε δμηθεῖσ' ὑπ' Ἰήσονι ποιμένι λαῶν Μήδειον τέκε παῖδα* verrät Kenntnis dieser ebenfalls durch die Namensähnlichkeit entstandenen Sage, die so sicheren Glauben fand, dafs Dichter wie Pindar P. I 78 statt *Μῆδοι* die paronyme Form *Μήδειοι* gebrauchten.

7. *αὐτοί*: zum Asyndeton vgl. I 20 1.

8. *ὧδε*, st. *οὕτω*. Vgl. IV 8 1 und zu I 137 2. Doch wird diese Zustimmung der Meder nur auf ihren früheren Namen, nicht auf den Ursprung des neuen zu beziehen sein.

— *Κίσσιοι*: zu III 92 20.

9 ff. *ἀντὶ δὲ τῶν πίλων*, mit einer zumal bei *ἀντί* nicht auffallenden Kürze st. *ἀντὶ τοῦ εἶναι πιλοφόροι*. Ähnlich Aristot. Poet. 4 *ἀντὶ τῶν ἰάμβων* (= *τοῦ ἰαμβοποιοὶ εἶναι*) *κωμῳδοποιοὶ ἐγένοντο*. — *Ἀνάφης*: Ktesias Exc. Pers. 14. 20. 26, der ihn durchgängig mit seinem Vater Otanes (c. 61 9) verwechselt, nennt ihn *Ὀνόφας*. — *Ὑρκάνιοι*: ihr Land, das heutige Gurgân, zend. Vehrkâna, altpers. Varkâna, in der Behistan-Inschrift II 16 und von Her. III 117 nur beiläufig neben Parthien erwähnt, aber weder in den persischen Völkerlisten (zu III 89 1) noch unter den herodotischen Nomen aufgezählt, zieht sich um den südöstlichen Rand des kaspischen Meeres, das nach ihnen auch das hyrkanische hiefs, bis an den Unterlauf des Oxus (Amu). Vgl. zu III 92 6.

63. *Ἀσσύριοι*: vom Umfang dieses Namens s. zu I 178 2.

3. Kegel- oder birnförmige und runde, auch mit Kämmen und Büschen geschmückte Helme aus Bronze und Eisen, ganz den homerischen entsprechend, zeigen nicht blofs die Monumente, aber nur bei schwerer Vollrüstung, sondern sind auch in den Ruinen gefunden worden. — *καὶ πεπλεγμένα*: ob aus Leder? Vgl. c. 72 2. 79 2. 89 13.

ἀσπίδας δὲ καὶ αἰχμὰς καὶ ἐγχειρίδια παραπλήσια τῇσι Αἰγυπτίῃσι ⟨μαχαίρῃσι⟩ εἶχον, πρὸς δὲ ῥόπαλα ξύλων τετυλωμένα σιδήρῳ, καὶ λινέους θώρηκας. οὗτοι δὲ ὑπὸ μὲν Ἑλλήνων καλέονται Σύριοι, ὑπὸ δὲ τῶν βαρβάρων Ἀσσύριοι ἐκλήθησαν. [τούτων δὲ μεταξὺ Χαλδαῖοι]. ἦρχε δὲ σφέων Ὀτάσπης ὁ Ἀρταχαίεω. Βάκτριοι **64** δὲ περὶ μὲν τῇσι κεφαλῇσι ἀγχότατα τῶν Μηδικῶν ἔχοντες ἐστρατεύοντο, τόξα δὲ καλάμινα ἐπιχώρια καὶ αἰχμὰς βραχέας. Σάκαι δὲ οἱ Σκύθαι περὶ μὲν τῇσι κεφαλῇσι κυρβασίας ἐς ὀξὺ ἀπηγμένας ὀρθὰς εἶχον πεπηγυίας, ἀναξυρίδας δὲ ἐνεδεδύκεσαν, τόξα δὲ ἐπιχώρια καί ἐγχειρίδια, πρὸς δὲ καὶ ἀξίνας σαγάρις εἶχον. τούτους δὲ ἐόντας Σκύθας Ἀμυργίους Σάκας ἐκάλεον· οἱ γὰρ Πέρσαι πάντας τοὺς Σκύθας καλέουσι Σάκας.

4. *ἀσπίδας*, nicht *γέρρα* (c. 61 6).

5. 6. *τετυλωμένα σιδήρῳ*, mit eisernen Buckeln (d. h. Nägeln mit breiten hohen Köpfen, *τύλοι*) beschlagen, c. 69 *ῥόπαλα τυλωτά*. Diod. III 33 *ῥόπαλον τύλους ἔχον περισιδήρους*, Strab. p. 776 *τοῖς ῥοπάλοις καὶ τύλους προστιθέασι σιδηροῦς*. Auf den Denkmälern sieht man solche Stabkeulen nur vereinzelt, um so häufiger aber Bogen und Schleudern. — *λινέους*, von linnenen Schnüren. S. III 47. — *δέ*, aufgenommen aus *Ἀσσύριοι δέ*, besonders oft bei *οὗτος*; s. zu II 166 5.

7 f. *Σύριοι*: zu I 6 3. — *Ἀσσύριοι*, semit. Ashûr, pers. Athurâ. — Das Einschiebsel ergiebt sich als Randnotiz späterer Zeit durch den Widerspruch mit I 181 20, die formlose Anknüpfung, und den auffallenden Gebrauch von *μεταξύ* st. *ἐν* od. *μετά*.

64. *Βάκτριοι*: zu III 92 9.

16. Diese Herleitung vom argeiischen Trözen gründet sich auf die Tradition der halikarnassischen Familie der *Ἀνθεάδαι* (Steph. B. p. 34 14 Mein.), welche die erbliche Priesterwürde am Poseidonion besafsen (C. I. gr. 2655) und sich auf *Ἄνθας*, Poseidons Sohn, zurückführten, dessen Nachkommen, durch Zuzug von Achäern unter den Pelopiden Trözen und Pittheus in ihrem Besitze geschmälert, zur Zeit der dorischen Wanderung unter einem zweiten Anthas mit eben eingewanderten dorischen Dymanen von Argolis auszogen und Halikarnafs und Myndos gründen halfen (Paus. II 30 9. Steph. B. v. *Ἁλικ.*). Somit hat die Ableitung von Trözen nur beschränkte Wahrheit; die dorischen Geschlechter konnten nicht als Trözenier gelten. Richtiger Strab. p. 656 *οἰκισταὶ δ' αὐτῆς ἐγένοντο ἄλλοι τε καὶ Ἄνθης μετὰ Τροιζηνίων.*

17. Fortdauernder Beweis alten Zusammenhangs zwischen Epidauros und Kos war der beiden gemeinsame und gleichartige Asklepios-Kult, den das berühmte Geschlecht der Asklepiaden (Hippokrates) in die neue Heimat verpflanzt hatte. Auch hier gehen die Gründungssagen über die dorische Zeit hinauf (Il. *β* 676 ff. Tacit. ann. XII 61), und deuten auf einen ionisch-achäischen Bestandteil (vgl. zu I 146 9). Kalydna und Nisyros waren von Kos aus besetzt worden (Diod. V 54). — *τοσόνδε*, rückweisend; zu I 137 2.

Xerxes mustert Heer und Flotte. Gespräch mit Demaratos. Beiläufiges von Maskames und Boges (c. 100—107).

100. 1. Die Überlieferung *ἠριθμησε* ist auch sachlich zweifelhaft, wegen *αὐτός* (2) und c. 60 5 und 12. 81 4.

4. *ἐπυνθάνετο*, sc. *τὰ ἔθνη*, c. 25 *ἀναπυνθανόμενος τοὺς χώρους*, VIII 90 *ἀνεπυνθάνετο τὸν ποιησαντα*, und unten Z. 10. — *ἀπέγραφον οἱ γραμματισταί*: vgl. VIII 90 21.

7. S. oben c. 59 14.

8. *νέα Σιδωνίην*: s. c. 128 10. Dies sidonischen Schiffe und Schiffsleute waren die besten der Flotte (c. 44 8. 96 3. 99 12).

νεῶν, ἐπειρωτῶν τε ἑκάστας ὁμοίως καὶ τὸν πεζὸν καὶ ἀπογραφόμενος. τὰς δὲ νέας οἱ ναύαρχοι ἀναγαγόντες ὅσον τε τέσσερα πλέθρα ἀπὸ τοῦ αἰγιαλοῦ ἀνεκώχευον, τὰς πρῴρας ἐς γῆν τρέψαντες πάντες μετωπηδὸν καὶ ἐξοπλίσαντες τοὺς ἐπιβάτας ὡς ἐς πόλεμον. ὁ δ' ἐντός ⟨τε⟩ τῶν πρῳρέων πλέων ἐθηεῖτο καὶ τοῦ αἰγιαλοῦ.

101 Ὡς δὲ καὶ ταύτας διεξέπλωσε καὶ ἐξέβη ἐκ τῆς νεός, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος συστρατευόμενον αὐτῷ ἐπὶ τὴν Ἑλλάδα, καλέσας δ' αὐτὸν εἴρετο τάδε. „Δημάρητε, νῦν μοι σὲ ἡδύ τι ἐστὶ εἰρέσθαι τὰ θέλω. σὺ εἷς Ἕλλην τε, καὶ ὡς ἐγὼ πυνθάνομαι σεῦ τε καὶ τῶν ἄλλων Ἑλλήνων τῶν ἐμοὶ ἐς λόγους ἀπικνεομένων, πόλιος οὔτ' ἐλαχίστης οὔτ' ἀσθενεστάτης. νῦν ὦν μοι τόδε φράσον, εἰ Ἕλληνες ὑπομενέουσι χεῖρας ἐμοὶ ἀνταειρόμενοι. οὐ γάρ, ὡς ἐγὼ δοκέω, οὐδ' εἰ πάντες Ἕλληνες καὶ οἱ λοιποὶ οἱ πρὸς ἑσπέρης οἰκέοντες ἄνθρωποι συλλεχθείησαν, οὐκ ἀξιόμαχοι εἰσὶ ἐμὲ ἐπιόντα ὑπομεῖναι, μὴ ἐόντες ἄρθμιοι. θέλω μέντοι καὶ τὸ ἀπὸ σεῦ, ὁκοῖόν τι λέγεις περὶ αὐτῶν, πυθέσθαι.“ ὁ μὲν ταῦτα εἰρώτα, ὁ δὲ ὑπολαβὼν ἔφη „βασιλεῦ, κότερα ἀληθείῃ χρήσωμαι πρὸς σὲ ἢ ἡδονῇ;“ ὁ δέ μιν ἀληθείῃ χρήσασθαι ἐκέλευε, φὰς οὐδέν οἱ ἀηδέστερον ἔσεσθαι ἢ

10. *ἐπειρωτῶν ἑκάστας*: vgl. zu III 22 7.

13. *μετωπηδόν*, in geradliniger Fronte.

15. *ἐντός*, hier ungewöhnlich = *μεταξύ*.

101. 4. *νῦν*, nach der Musterung, wobei Demaratos im Gefolge gewesen sein wird. — *ἡδύ τι* = *ἡδονή* (II 137 19).

5. *τὰ θέλω*: vgl. c. 8 5.

8. *νῦν ὦν*, adhortativ (I 30 13).

9. *ὑπομενέουσι*, sc. *ἐμέ* (12); vgl. c. 209 18.

12. *μὴ ἐόντες* (= *εἰ μὴ εἶησαν*) *ἄρθμιοι* beschränkt nachträglich noch die mafslose Behauptung. Unten c. 103 17 ff. beruft sich Xerxes auf den Mangel an Einheit und Unterordnung bei seinen Gegnern. — *ἄρθμιοι, φίλοι, παρὰ τὸ ἁρμόσθαι καὶ συμφωνεῖν ἡμῖν* (Hesych.). Od. *π* 425 *δὴ γὰρ κεχολώατο λίην Οὔνεκα — ἦκαχε Θεσπρωτούς· οἱ δ' ἡμῖν ἄρθμιοι ἦσαν*. Noch VI 83 6. IX 9 8. 37 24.

13. *τὸ ἀπὸ σεῦ* ‘deine Meinung’. Vgl. I 159 7. IV 139 12. IX 7 *α* 12.

16. *ἡδονῇ χρᾶσθαι*, d. i. *προς ἡδονὴν λέγειν*. Eurip. Fr. 1036 *ποτερα θέλεις σοὶ μαλθακὰ ψευδῆ λέγω Ἢ σκληρ' ἀληθῆ; φράζε· σὴ*

102 πρότερον ἦν. ὡς δὲ ταῦτα ἤκουσε Δημάρητος, ἔλεγε τάδε. „βασιλεῦ, ἐπειδὴ ἀληθείῃ διαχρήσασθαι πάντως κελεύεις ταῦτα λέγοντα τὰ μὴ ψευδόμενός τις ὕστερον ὑπὸ σεῦ ἁλώσεται, τῇ Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφος ἐστί, ἀρετὴ δὲ ἔπακτος ἐστί, ἀπό τε σοφίης κατεργασμένη καὶ νόμου ἰσχυροῦ· τῇ διαχρεωμένη ἡ Ἑλλὰς τήν τε πενίην ἀπαμύνεται καὶ τὴν δεσποσύνην. αἰνέω μέν νυν πάντας Ἕλληνας τοὺς περὶ ἐκείνους τοὺς Δωρικοὺς χώρους οἰκημένους, ἔρχομαι δὲ λέξων οὐ περὶ πάντων τούσδε τοὺς λόγους ἀλλὰ περὶ Λακεδαιμονίων μούνων, πρῶτα μὲν ὅτι οὐκ ἔστι ὅκως κοτὲ σοὺς δέξονται λόγους δουλοσύνην φέροντας τῇ Ἑλλάδι, αὖτις δὲ ὡς ἀντιώσονταί τοι ἐς μάχην καὶ ἢν οἱ ἄλλοι Ἕλληνες πάντες τὰ σὰ φρονέωσι. ἀριθμοῦ δὲ πέρι, μὴ πύθῃ ὅσοι τινὲς ἐόντες ταῦτα ποιέειν οἷοί τε εἰσί· ἢν τε γὰρ τύχωσι ἐξεστρατευμένοι χίλιοι, οὗτοι μαχήσονταί τοι, ἢν τε ἐλάσσονες τούτων, ἢν τε καὶ **103** πλεῦνες.“ ταῦτα ἀκούσας Ξέρξης γελάσας ἔφη „Δημάρητε, οἷον ἐφθέγξαο ἔπος, ἄνδρας χιλίους στρατιῇ τοσῇδε μαχήσεσθαι. ἄγε εἰπέ μοι· σὺ φῂς τούτων τῶν ἀνδρῶν βασιλεὺς αὐτὸς γενέσθαι· σὺ ὧν ἐθελήσεις αὐτίκα μάλα πρὸς ἄνδρας δέκα μάχεσθαι; καίτοι εἰ τὸ πολιτικὸν ὑμῖν πᾶν ἐστι τοιοῦτον οἷον σὺ διαιρέεις, σέ

γὰρ ἡ κρίσις. Cic. Lael. 25 *vitium notandum levium hominum atque fallacium ad voluntatem loquentium omnia, nihil ad veritatem.*

102. 3. *μή* geh. zu *ἁλώσεται*. Der Relativsatz hat die Geltung eines Konsekutivsatzes (*ταῦτα* od. *τοιαῦτα ὥστε μὴ – ἁλώσεσθαι*); daher *μή*. Vgl. I 32 8. II 135 13. IV 166 5.

4. *τῇ Ἑλλάδι*, in engerem Sinne.

5 ff. *σύντροφος* (*συντρέφεσθαι*), bei älteren Autoren besonders von Krankheiten und Übeln, die mit Leib oder Seele organisch verwachsen sind. Hippokr. p. 307 18 Foes. *νοῦσος ἐκ παιδίου σύντροφος*, 306 24 *κίνδυνος δὲ συντραφῆναι καὶ συναυξηθῆναι* (*νοῦσον*). Hier = *ἔνδημος, ἐγχώριος*, wie auch Thuk. II 50 *τῶν ξυντρόφων* (*νοσευμάτων*) sc. *τῇ γῇ*. — *ἀπό*: vgl. zu V 2 1. — *σοφίη, sollertia.* Thuk. I 123 *πάτριον γὰρ ὑμῖν* (den Lakedäm.) *ἐκ τῶν πόνων τὰς ἀρετὰς κτᾶσθαι.* Euripid. Fr. 641 *πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ συγγενές.* Theokr. XXI 1 *Ἀ πενία, Διόφαντε, μόνα τὰς τέχνας ἐγείρει, Αὐτὰ τῶ μόχθοιο διδάσκαλος.* Publ. Syr. 191 *hominem experiri multa paupertas iubet.*

14. *τὰ σὰ φρονέωσι* ‚dir anhängen' (II 162 27).

103. 2. *οἷον*, exklamativ (IV 3 10).

6. *τὸ πολιτικόν*, ‚wenn eure ganze Staatsordnung so ist wie du sie (mir)

γε τὸν κείνων βασιλέα πρέπει πρὸς τὸ διπλήσιον ἀντιτάσσεσθαι κατὰ νόμους τοὺς ὑμετέρους. εἰ γὰρ κείνων ἕκαστος δέκα ἀνδρῶν τῆς στρατιῆς τῆς ἐμῆς ἀντάξιος ἐστί, σὲ δέ γε δίζημαι εἴκοσι εἶναι ἀντάξιον. καὶ οὕτω μὲν ὀρθοῖτ' ἂν ὁ λόγος ὁ παρὰ σέο λεγόμενος· εἰ δὲ τοιοῦτοί τε ἐόντες καὶ μεγάθεα τοσοῦτοι, ὅσοι σύ τε καὶ οἳ παρ' ἐμὲ φοιτῶσι Ἑλλήνων ἐς λόγους, αὐχέετε τοσοῦτο, ὅρα μὴ μάτην κόμπος ὁ λόγος οὗτος εἰρημένος ᾖ. ἐπεὶ φέρε ἴδω παντὶ τῷ οἰκότι· κῶς ἂν δυναίατο χίλιοι ἢ καὶ μύριοι ἢ καὶ πεντακισμύριοι, ἐόντες γε ἐλεύθεροι πάντες ὁμοίως καὶ μὴ ὑπ' ἑνὸς ἀρχόμενοι, στρατῷ τοσῷδε ἀντιστῆναι; ἐπεί τοι πλεῦνες περὶ ἕνα ἕκαστον γινόμεθα ἢ χίλιοι, ἐόντων ἐκείνων πέντε χιλιάδων. ὑπὸ μὲν γὰρ ἑνὸς ἀρχόμενοι κατὰ τρόπον τὸν ἡμέτερον γενοίατ' ἄν, δειμαίνοντες τοῦτον, καὶ παρὰ τὴν ἑωυτῶν φύσιν ἀμείνονες, καὶ ἴοιεν ἀναγκαζόμενοι μάστιγι ἐς πλεῦνας ἐλάσσονες ἐόντες· ἀνειμένοι

schilderst', d. h. wenn das Verhältnis zwischen König und Bürger überall das gleiche ist. — *διαιρέεις*: zu c. 16 *γ* 2.

8. *κατὰ νόμους τοὺς ὑμετέρους*, Hinweisung auf die doppelten Portionen, die den spartiatischen Königen beim Mahle zufielen (VI 57 4 und 17) und doppelte Leistung erwarten liefsen. Xerxes kennt diese Sitte, wie unten Z. 20 die Stärke des spartiatischen Auszugs, während er c. 234 weniger unterrichtet auftritt.

10. *σέ δέ*: vgl. c. 51 3. — *δίζημαι, requiro.*

11. *ὀρθοῖτ' ἄν* = *ὀρθῶς ἂν λέγοιτο.* Soph. O. T. 829 *κρίνων – ἂν ὀρθοίη λόγον, recte dixerit.* Vgl. *ὀρθὸς λόγος* ‚Wahrheit' (II 17 6 u. s.).

12. *μεγάθεα*: zum Plural vgl. I 202 2. — *ὅσοι*, sc. *ἐστέ.*

14. *μάτην κόμπος* ‚eitel Geprahle'. Eurip. Ion 275 *τί δαὶ τόδ'; ἆρ' ἀληθὲς ἢ μάτην λόγος;* Vgl. V 41 *κομπέειν ἄλλως.*

15. *παντὶ τῷ εἰκότι* ‚nach aller Wahrscheinlichkeit'. Thuk. II 18 *τῆς Ἑλλάδος τῶν ἐκεῖ προσγενομένων πάσης τῷ εἰκότι ἄρξομεν.* Vgl. c. 167 2. 239 7. Der Dativ wie im häufigen *ἀληθέι* oder *ὀρθῷ λόγῳ* (I 120 9).

19 f. *περὶ ἕνα*: der König, der fortwährend nur das Zahlverhältnis der beiden Heere veranschlagt und in den Lakonen nur eine Reihe einzelner Krieger erwartet, denkt sich die Schlacht in lauter Sonderkämpfe aufgelöst, wobei je einen Spartiaten mehr als tausend Perser umzingeln würden. Vgl. IX 10 5. 28 5. 29 1. — Das hyperbolische *χίλιοι* würde, streng genommen, selbst die freigiebige Berechnung des Vfs. (c. 185 15) fast um das Doppelte erhöhen, falls man nicht auch den Trofs hier mitzählen will (c. 186). — *ἐόντων ἐκείνων* = *εἰ ἐκεῖνοι εἰσί.* Zur Zahl vgl. c. 234 10.

δὲ ἐς τὸ ἐλεύθερον οὐκ ἂν ποιέοιεν τούτων οὐδέτερα. δοκέω δὲ ἔγωγε καὶ ἀνισωθέντας πλήθεϊ χαλεπῶς ἂν Ἕλληνας Πέρσῃσι μούνοισι μάχεσθαι. ἀλλὰ παρ' ἡμῖν μὲν [μούνοισι] τοῦτο ἐστὶ τὸ σὺ λέγεις, ἔστι γε μὲν οὐ πολλὸν ἀλλὰ σπάνιον· εἰσὶ γὰρ [Περσέων] τῶν ἐμῶν αἰχμοφόρων οἳ ἐθελήσουσι Ἑλλήνων ἀνδράσι τρισὶ ὁμοῦ μάχε-
104 σθαι· τῶν σὺ ἐὼν ἄπειρος πολλὰ φλυηρέεις." πρὸς ταῦτα Δημάρητος λέγει „ὦ βασιλεῦ, ἀρχῆθεν ἠπιστάμην ὅτι ἀληθείῃ χρεώμενος οὐ φίλα τοι ἐρέω. σὺ δ' ἐπεὶ ἠνάγκασας λέγειν τῶν λόγων τοὺς ἀληθεστάτους, ἔλεγον τὰ κατήκοντα Σπαρτιήτῃσι. καίτοι ὡς ἐγὼ τυγχάνω τὰ νῦν τάδε ἐστοργὼς ἐκείνους . . ., αὐτὸς μάλιστα ἐξεπίστεαι, οἵ με τιμήν τε καὶ γέρεα ἀπελόμενοι πατρώια ἄπολίν τε καὶ φυγάδα πεποιήκασι, πατὴρ δὲ σὸς ὑποδεξάμενος βίον τέ μοι καὶ οἶκον ἔδωκε. οὔκων οἰκός ἐστι ἄνδρα τὸν σώφρονα εὐνοίην φαινομένην διωθέεσθαι, ἀλλὰ στέργειν μάλιστα. ἐγὼ δὲ οὔτε δέκα ἀνδράσι ὑπίσχομαι οἷός τε εἶναι μάχεσθαι οὔτε δυοῖσι, ἑκών τε εἶναι οὐδ' ἂν μουνομαχέοιμι. εἰ δὲ ἀναγκαίη εἴη ἢ μέγας τις ὁ ἐποτρύνων ἀγών, μαχοίμην ἂν πάν-

24. *τὸ ἐλεύθερον* = *ἐλευθερίην*. — *οὐδέτερα*: vom Plural zu V 39 12.

27. *γε μέν* 'jedoch'.

104. 4. *τῶν – ἀληθεστάτους*, 'das Wahrste was ich sagen kann, die reine Wahrheit' (c. 233 7). Isokr. Paneg. 63 *δεῖ – τὸν ἀκριβέστατον τῶν λόγων εἰπεῖν*. Vgl. c. 108 *τῷ δικαιοτάτῳ τ. λ.*, 168 *τῇ πρώτῃ τῶν ἡμερέων*, I 57 3. VI 129 2. VII 12 12. IX 69 10.

5. *τὰ κατήκοντα Σπαρτιήτῃσι* 'wie es mit den Sp. steht'. Vgl. zu I 97 9.

6 ff. *τὰ νῦν τάδε ἐστοργώς* 'mit meiner jetzigen Lage hier zufrieden'. Z. 10 f. mit anderer Wendung dasselbe. IX 117 *ἔστεργον τὰ παρεόντα*. Die Verbindung *τὰ νῦν τάδε* auch bei attischen Dichtern; Eurip. Iph. A. 537 *ὦ τάλας ἐγὼ Ὡς ἠπόρημαι πρὸς θεῶν τὰ νῦν τάδε*, Herakl. 641 *εὐτυχεῖς τὰ νῦν τάδε*, Arist. Fried. 856 *εὐδαιμονικῶς γ' ὁ πρεσβύτης – τὰ νῦν τάδε πράττει*, mit zunehmender Hinneigung zu blofs adverbialer Bedeutung. — An das hinter *ἐκείνους* ausgefallene Verb (etwa *δὲ μισέων* oder *ἀποστυγέων*, vgl. c. 239 8) schliefst sich in chiastischer Folge das motivierende *οἵ – πεποιήκασι*, während mit *πατὴρ – ἔδωκε* der Ausdruck *ἐστοργώς* gerechtfertigt wird. — *τιμήν – γέρεα* 'meine Königswürde und meine Ehrenrechte'. Von den *γέρεα* s. VI 56 f., von der Entthronung VI 61—70. — *πεποιήκασι* parallel zu *ἔδωκε*, wie VIII 142 15 f. IX 7 27.

12. *ὑπίσχομαι, profiteor* (II 28 3).

των ἥδιστα ἑνὶ τούτων τῶν ἀνδρῶν οἳ Ἑλλήνων ἕκαστος φησὶ τριῶν ἄξιος εἶναι. ὡς δὲ καὶ Λακεδαιμόνιοι κατὰ μὲν ἕνα μαχόμενοι οὐδαμῶν εἰσι κακίονες ἀνδρῶν, ἁλέες δὲ ἄριστοι ἀνδρῶν ἁπάντων. ἐλεύθεροι γὰρ ἐόντες οὐ πάντα ἐλεύθεροι εἰσί· ἔπεστι γάρ σφι δεσπότης νόμος, τὸν ὑπερδείμαίνουσι πολλῷ ἔτι μᾶλλον ἢ οἱ σοὶ σέ. ποιεῦσι γῶν τὰ ἂν ἐκεῖνος ἀνώγῃ· ἀνώγει δὲ τὠυτὸ αἰεί, οὐκ ἐῶν φεύγειν οὐδὲν πλῆθος ἀνθρώπων ἐκ μάχης, ἀλλὰ μένοντας ἐν τῇ τάξι ἐπικρατέειν ἢ ἀπόλλυσθαι. σοὶ δὲ εἰ φαίνομαι ταῦτα λέγων φλυηρέειν, τἆλλα σιγᾶν θέλω τὸ λοιπόν· νῦν τε ἀναγκασθεὶς ἔλεξα. γένοιτο μέντοι κατὰ νόον τοι, βασιλεῦ."

Ὁ μὲν δὴ ταῦτα ἀμείψατο, Ξέρξης δὲ ἐς γέλωτά **105** *τε ἔτρεψε καὶ οὐκ ἐποιήσατο ὀργὴν οὐδεμίαν, ἀλλ' ἠπίως αὐτὸν ἀπεπέμψατο. τούτῳ δὲ ἐς λόγους ἐλθὼν Ξέρξης, καὶ ὕπαρχον ἐν τῷ Δορίσκῳ τούτῳ καταστήσας Μασκάμην τὸν Μεγαδόστεω, τὸν δὲ ὑπὸ Δαρείου σταθέντα καταπαύσας, ἐξήλαυνε τὸν στρατὸν διὰ τῆς Θρηίκης ἐπὶ τὴν Ἑλλάδα. κατέλιπε δὲ ἄνδρα τοιόνδε* **106** *Μασκάμην γενόμενον, τῷ [μούνῳ] Ξέρξης δῶρα πέμπεσκε ὡς ἀριστεύοντι πάντων ὅσους αὐτὸς κατέστησε ἢ Δαρεῖος ὑπάρχους, πέμπεσκε δὲ ἀνὰ πᾶν ἔτος· ὡς δὲ*

17. *κατὰ ἕνα, singuli*.

19. *δεσπότης* heifst der *νόμος*, weil er bei den Hellenen die Stelle einnimmt, welche Xerxes bei den Persern. Dagegen III 38 *νόμον πάντων βασιλέα εἶναι*.

22. *οὐδὲν πλῆθος*, Akkusativ zu *φεύγειν*. — Tyrtäos Fr. XI 3 *μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε μηδὲ φοβεῖσθε*.

23. *ἀλλά*, sc. *κελεύων*; zu V 89 2. — *μένοντας ἐν τῇ τάξι*: wie buchstäblich das wohl genommen ward, zeigt das Beispiel des Amompharetos (IX 53 ff.).

105. 2. *ἔτρεψε*, die Sache.

4. *τούτῳ*: Doriskos ward zuletzt c. 59 genannt, mufste aber dem Leser als Schauplatz der letzten Vorgänge noch gegenwärtig sein. Vgl. zu I 120 3. VI 42 1.

106. Die Worte *ἄνδρα τοιόνδε γενόμενον* enthalten nicht etwa das Motiv zu *κατέλιπε δέ*, sondern eine selbständige Bemerkung, die der Autor von seiner Zeit und von seinem Standpunkte aus macht, 'der M. aber, den X. zurückliefs, hat sich (nachher) also bewährt', und durch die auf *καταστήσας* zurückweisende epanaleptische Formel *κατέλιπε δὲ Μασκάμην* anknüpft. — *τοιόνδε – τῷ*: zu I 202 8.

3. *πάντων*, in Thrakien und am Hellespont (7).

καὶ Ἀρτοξέρξης ὁ Ξέρξεω τοῖσι Μασκαμείοισι ἐκγόνοισι. κατέστασαν γὰρ ἔτι πρότερον ταύτης τῆς ἐλάσιος ὕπαρχοι ἐν τῇ Θρηίκῃ καὶ τοῦ Ἑλλησπόντου πανταχῇ. οὗτοι ὧν πάντες οἵ τε ἐκ Θρηίκης καὶ τοῦ Ἑλλησπόντου, πλὴν τοῦ ἐν Δορίσκῳ, ὑπὸ Ἑλλήνων ὕστερον ταύτης τῆς στρατηλασίης ἐξαιρέθησαν· τὸν δὲ ἐν Δορίσκῳ Μασκάμην οὐδαμοί κω ἐδυνάσθησαν ἐξελεῖν, πολλῶν πειρησαμένων. διὰ τοῦτο δή οἱ τὰ δῶρα πέμπεται
107 παρὰ τοῦ βασιλεύοντος αἰεὶ ἐν Πέρσῃσι. τῶν δὲ ἐξαιρεθέντων ὑπὸ Ἑλλήνων οὐδένα βασιλεὺς Ξέρξης ἐνόμισε εἶναι ἄνδρα ἀγαθὸν εἰ μὴ Βόγην μοῦνον τὸν ἐξ Ἠιόνος, τοῦτον δὲ αἰνέων οὐκ ἐπαύετο, καὶ τοὺς περιεόντας αὐτοῦ ἐν Πέρσῃσι παῖδας ἐτίμα μάλιστα, ἐπεὶ καὶ ἄξιος αἴνου μεγάλου ἐγένετο Βόγης· ὃς ἐπειδὴ ἐπολιορκέετο ὑπὸ Ἀθηναίων καὶ Κίμωνος τοῦ Μιλτιάδεω, παρεὸν αὐτῷ ὑπόσπονδον ἐξελθεῖν καὶ νοστῆσαι ἐς τὴν Ἀσίην, οὐκ ἠθέλησε, μὴ δειλίῃ δόξειε περιεῖναι βασιλέι, ἀλλὰ διεκαρτέρεε ἐς τὸ ἔσχατον. ὡς δ' οὐδὲν ἔτι φορβῆς ἐνῆν ἐν τῷ τείχεϊ, συννήσας πυρὴν μεγάλην ἔσφαξε τὰ τέκνα καὶ τὴν γυναῖκα καὶ τὰς παλλακὰς καὶ τοὺς

5. *Μασκαμείοισι*, ein patronymisches Adjektiv, zu dem sich fast nur bei Dichtern Parallelen finden. Il. δ 367 *Σθένελος Καπανῆος υἱός*, Pind. P. VIII 19 *Ξενάρκειον υἱόν*, Plat. Gorg. 482 *ὁ Κλεινίειος οὗτος*.

7. *πανταχῇ*, in allen festen Plätzen, wie z. B. Artayktes in Sestos (c. 33 8).

10. *ἐξαιρέθησαν* 'wurden beseitigt, vertrieben'. Vgl. I 159 11. II 30 27. V 16 5. Dahin gehört die Eroberung von Sestos 478 (IX 118), Byzantion 477 (zu IV 81 10), Eïon 476 (c. 107).

11. *οὐδαμοί κω*, bis auf die Zeit der Abfassung dieser Stelle, daher gleich *πέμπεται*; freilich nicht ohne Widerspruch mit den Worten *ὡς – ἐκγόνοισι* (4 f.); aber diese sind wohl erst nachträglich und später vom Autor zugesetzt worden, und lassen merken, dafs Doriskos nach dem Tode des Maskames inzwischen doch gefallen war.

107. 3. *Βόγην*: Plut. Kim. 7 nennt ihn *Βούτης*, Paus. VIII 8 9 *Βοής*.

4. *Ἠιόνος*, am Strymon (c. 25 11).

6. *καί* 'in der That, wirklich'. Vgl. zu I 75 21.

7. Dies war die erste Unternehmung der seit 476 unter Kimons Führung gestellten Seemacht der Athener und ihrer Bundesgenossen (Thuk. I 98. Diod. XI 60), veranlafst durch den Hilferuf der zahlreichen an jener Küste liegenden hellenischen Städte, aber ausgeführt zur Ausbreitung der athenischen Herrschaft.

10. Plut a. O. *πρῶτον μὲν οὖν αὐτοὺς μάχῃ τοὺς Πέρσας ἐνίκησε (Κίμων) καὶ κατέκλεισεν εἰς τὴν*

οἰκέτας καὶ ἔπειτα ἐσέβαλε ἐς τὸ πῦρ, μετὰ δὲ ταῦτα τόν ⟨τε⟩ χρυσὸν ἅπαντα τὸν ἐκ τοῦ ἄστεος καὶ τὸν ἄργυρον ἔσπειρε ἀπὸ τοῦ τείχεος ἐς τὸν Στρυμόνα, ποιήσας δὲ ταῦτα ἑωυτὸν ἐσέβαλε ἐς τὸ πῦρ. οὕτω μὲν οὗτος δικαίως αἰνέεται ἔτι καὶ ἐς τόδε ὑπὸ Περσέων.

Ξέρξης δὲ ἐκ τοῦ Δορίσκου ἐπορεύετο ἐπὶ τὴν Ἑλ- **108**
λάδα, τοὺς δὲ αἰεὶ γινομένους ἐμποδὼν συστρατεύεσθαι ἠνάγκαζε· ἐδεδούλωτο γάρ, ὡς καὶ πρότερόν μοι δεδήλωται, ἡ μέχρι Θεσσαλίης πᾶσα καὶ ἦν ὑπὸ βασιλέα δασμοφόρος, Μεγαβάζου τε καταστρεψαμένου καὶ ὕστερον Μαρδονίου. παραμείβετο δὲ πορευόμενος ἐκ Δορίσκου πρῶτα μὲν τὰ Σαμοθρηίκια τείχεα, τῶν ἐσχάτη πεπόλισται πρὸς ἑσπέρης πόλις τῇ οὔνομα ἐστὶ Μεσαμβρίη. ἔχεται δὲ ταύτης Θασίων πόλις Στρύμη, διὰ δὲ σφέων τοῦ μέσου Λίσος ποταμὸς διαρρέει, ὃς τότε οὐκ ἀντέσχε τὸ ὕδωρ παρέχων τῷ Ξέρξεω στρατῷ ἀλλ' ἐπέλιπε. ἡ δὲ χώρη αὕτη πάλαι μὲν ἐκαλέετο Γαλλαϊκή, νῦν δὲ Βριαντική· ἔστι μέντοι τῷ δικαιοτάτῳ τῶν λέγων καὶ αὕτη Κικόνων. διαβὰς δὲ τοῦ Λίσου πο- **109**

πόλιν· ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾷκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναστάτους ποιῶν καὶ τὴν χώρην παραφυλάττων ἅπασαν, εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέστησεν, ὥστε Βούτην τὸν βασιλέως στρατηγὸν ἀπογνόντα τὰ πράγματα κτλ.

14. *χρυσὸν – ἄργυρον*: über den Metallreichtum dieser Gegend s. V 17. VI 46. VII 112. IX 75. — *ἐκ τοῦ ἄστεος*, der Bürger.

Marsch und Fahrt von Doriskos bis Akanthos, Verpflegung des Heeres (c. 108—121).

108. 3. *καὶ πρότερον*: V 1 ff. VI 44 f.

4 f. *μέχρι Θεσσαλίης*, Makedonien eingeschlossen (VI 44 5). — *ὑπὸ βασιλέα*: häufiger der Dativ (VII 11 17. 157 11); vgl. jedoch IX 96 10 und zu V 10 6. — *δασμοφόρος*: im übrigen unabhängig und, wie Makedonien, unter eigenen Fürsten. — *Μεγαβάζου*: zu IV 143 4.

7. *τὰ Σαμοθρηίκια τείχεα*, feste Orte welche die Samothraken zur Behauptung ihres festländischen Gebietes und ihrer Emporien angelegt hatten (c. 59 11), ähnlich wie die Thasier (zu VI 46 9. VII 109 10). Vgl. zu VI 33 6.

8. *Μεσαμβρίη*, zu scheiden von der pontischen Stadt des Namens (IV 93 4. VI 33 10).

11. *ἀντέσχε*: zu c. 58 13.

12. *πάλαι μέν*, st. *τὸ μὲν πάλαι*, wie öfter *πρῶτον μέν* st. *τὸ μὲν πρῶτον*. — In den attischen Tributlisten (CIA. I. 243 f.) sind noch *Γαλαῖοι* aufgeführt.

13 f. *Βριαντική*: bei Liv. XXXVIII 41 *Priaticus campus*; das Volk bei Plin. IV 41 *Priantae*. — *ἔστι*:

ταμοῦ τὸ ῥέεθρον ἀπεξηρασμένον πόλιας Ἑλληνίδας τάσδε παραμείβετο, Μαρώνειαν Αἶκαιαν Ἄβδηρα. ταύτας τε δὴ παρεξήιε καὶ κατὰ ταύτας λίμνας ὀνομαστὰς τάσδε, Μαρωνείης μὲν μεταξὺ καὶ Στρύμης κειμένην Ἰσμαρίδα, κατὰ δὲ Αἶκαιαν Βιστονίδα, ἐς τὴν ποταμοὶ δύο ἐσιεῖσι τὸ ὕδωρ, Τραῦός τε καὶ Κόμψαντος. κατὰ δὲ Ἄβδηρα λίμνην μὲν οὐδεμίαν ἐοῦσαν ὀνομαστὴν παραμείψατο Ξέρξης, ποταμὸν δὲ Νέστον ῥέοντα ἐς Θάλασσαν. μετὰ δὲ ταύτας τὰς χώρας ἰὼν τὰς ἠπειρώτιδας πόλις παρήιε, τῶν ἐν μιῇ λίμνῃ ἐοῦσα τυγχάνει [ὡσεὶ] τριήκοντα σταδίων μάλιστά κῃ τὴν περίοδον, ἰχθυώδης τε καὶ κάρτα ἁλμυρή· ταύτην τὰ ὑποζύγια μοῦνα ἀρδόμενα ἀνεξήρηνε. τῇ δὲ πόλι ταύτῃ οὔνομα ἐστὶ Πίστυρος. ταύτας μὲν δὴ τὰς πόλιας τὰς παραθα-

auch c. 110 4 spricht Her. von den Kikonen als einem noch existierenden Volke; anders c. 59 13. — *τῷ δικαιοτάτῳ*, wenn man nach dem ältesten Rechtstitel fragt, der sich auf Od. *ι* 39 ff. stützt. — *καὶ αὕτη*, wie Doriskos (c. 59 13) und das c. 109 zu nennende *Μαρώνεια* (Strab. p. 331 Fr. 44).

109. 3. *Μαρώνεια*, noch jetzt Maronia.

6. *Ἰσμαρίδα*, nach der Kikonenstadt *Ἴσμαρος* (Od. a. O.), die am See nahe bei Maroneia lag (Strab. a. O.). — *Βιστονίδα*, eigentlich eine tiefe engmündige Meerbucht.

7. *Τραῦος*: a. La. *Στραῦος*, richtiger vielleicht *Τραῦσος*. Die Anwohner hiefsen *Τραυσοί* (V 4). — *Κόμψαντος*: bei Aelian. hist. an. XV 25 *Κοσσίνιτος*, im Itinerar. Anton. 321 *Cosintus*. Die beiden Flüfschen kommen von der nahen Rhodope.

9. *ποταμόν*, sc. *διέβη*, was aus *παραμείψατο* zeugmatisch zu ergänzen.

10 f. *τὰς ἠπειρώτιδας πόλις* wird c. 110 1 durch *παραθαλασσίας* wiederholt, soll also nicht 'Städte des Binnenlandes' bezeichnen, sondern nur 'Städte des Festlandes', in Gegensatz zu denen auf den benachbarten Inseln (Samothrake und Thasos), wie auch I 151 die aeolischen Küsten denen der Inseln gegenüber *ἠπειρώτιδες* heifsen. Bei der geringen Bedeutung dieser Orte, die wohl alle unter Thasos standen, überhebt sich Herodot ihrer genauen Aufführung. Doch ist *τάς* auffällig, da ja auch die vorher erwähnten dazu gehören. Ich vermute *Θασίων τὰς ἠπ. π.* Vgl. c. 118 5 und Skylax 67 *εἰσὶ δὲ ἐν Θράικῃ πόλεις Ἑλληνίδες αἵδε· Ἀμφίπολις Φάγρης* (s. c. 112 3) *Γάληψος Οἰσύμη καὶ ἄλλα ἐμπόρια Θασίων. — ἐν* 'an, bei'.

14. *ἀρδόμενα* 'getränkt' (V 12 19).

15. *Πίστυρος* oder *Πύστιρος* die Hss., bei Steph. B. und Etym. M. 488 10 *Πίστιρος* (und *Βίστιρος*), Harpokr. 124 11. Schol. Aesch. Pers. 2 *Πίστειρα*. Wohl von den *Βίστονες* benannt, mit Wechsel von *π* u. *β*, wie oben zu c. 108 13 u. s. Boeckh Staatsh. II 701 nimmt als dritte Form aus den Tributlisten *Κύστιρος* an, das aber im Etym. M. neben *Πίστιρος* steht.

λασσίας τε καὶ Ἑλληνίδας ἐξ εὐωνύμου χειρὸς ἀπέργων παρεξήιε. ἔθνεα δὲ Θρηίκων δι' ὧν τῆς χώρης ὁδὸν ἐποιέετο τοσάδε, Παῖτοι Κίκονες Βίστονες Σαπαῖοι Δερσαῖοι Ἤδωνοὶ Σάτραι. τούτων οἱ μὲν παρὰ Θάλασσαν κατοικημένοι ἐν τῇσι νηυσὶ εἵποντο· οἱ δὲ αὐτῶν τὴν μεσόγαιαν οἰκέοντες καταλεχθέντες τε ὑπ' ἐμεῦ, πλὴν Σατρέων, οἱ ἄλλοι πάντες πεζῇ ἀναγκαζόμενοι εἵποντο. Σάτραι δὲ οὐδενός κω ἀνθρώπων ὑπήκοοι ἐγένοντο, ὅσον ἡμεῖς ἴδμεν, ἀλλὰ διατελεῦσι τὸ μέχρι ἐμεῦ αἰεὶ ἐόντες ἐλεύθεροι μοῦνοι Θρηίκων· οἰκέουσί τε γὰρ ὄρεα ὑψηλά, ἴδησί τε παντοίῃσι καὶ χιόνι συνηρεφέα, καὶ εἰσὶ τὰ πολέμια ἄκροι. οὗτοι οἱ τοῦ Διονύσου τὸ μαντήιον εἰσὶ ἐκτημένοι· τὸ δὲ μαντήιον τοῦτο ἐστὶ μὲν ἐπὶ τῶν ὀρέων τῶν ὑψηλοτάτων,

110. 2. *τε καὶ*, weil die Küstenstädte zugleich hellenische waren; vgl. zu V 4 9. Strab. p. 323 *τὰ δὲ πέραν Στρυμόνος ἤδη μέχρι τοῦ Ποντικοῦ στόματος καὶ τοῦ Αἵμου πάντα Θρακῶν ἐστι πλὴν τῆς παραλίας. αὕτη δ' ὑφ' Ἑλλήνων οἰκεῖται. — ἀπέργων*: zu c. 43 11.

4. *τοσάδε*, sc. *ἦν*. — *Παῖτοι*, südlich vom Hebros (Arrian. An. I 11 4). — *Κίκονες* safsen einst am Hebros bis über den Nestos hinaus. Plin. IV 43 *Aenus oppidum — Ciconum quondam regio.* Hesych. *Σάιοι, οἱ πρότερον Κίκονες.* — *Σαπαῖοι*, Thasos gegenüber. Steph. B. *Σάπαι, ἔθνος Θρᾴκης. λέγεται δὲ (καὶ) Σαπαῖοι καὶ Σάιοι.* Die letzte Form bei Archilochos, der im Kampfe, den seine parischen Landsleute von Thasos aus gegen sie führten, den Schild verlor, Fr. 6 *ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται κτλ.*

5. *Δερσαῖοι*, oberhalb der *Σαπαῖοι* im Binnenlande (Thuk. II 101). — *Ἤδωνοί*, auch *Ἠδῶνες*, bis an den Strymon (V 11 7. VII 114 3. IX 75 7). Früher in Mygdonien zwischen Axios und Strymon ansässig, waren sie von den makedonischen Fürsten hierher verdrängt worden (Thuk. II 99). — *Σάτραι*, in den Gebirgen zwischen Strymon und Nestos bis zum Skomios hinauf.

7. *καταλεχθέντες τε ὑπ' ἐμεῦ*, wie zum Überfluſs noch beigefügt, damit niemand die zahlreichen Binnenvölker mit einrechne, obwohl schon *αὐτῶν* solchem Irrtum vorbeugt.

111. 3. *μοῦνοι Θρηίκων* ist zu viel gesagt, auch wenn man von den nördlichen und östlichen Stämmen (Geten u. a.) absieht, die Dareios vorübergehend bezwungen hatte (IV 93). Die Odrysen z. B. kennt Her. selber als frei und mächtig (zu IV 80 3. 92 2).

5. *ἄκροι*: s. V 112 3.

6. *Διονύσου*: s. V 7 2. — *τό*, das bekannte. Eurip. Hek. 1267 *ὁ Θρῃξὶ μάντις εἶπε Διόνυσος τάδε.* Suet. August. 94 *Octavio postea, cum per secreta Thraciae exercitum duceret, in Liberi patris luco barbara caerimonia de filio consulenti idem affirmatum est a sacerdotibus, quod infuso super altaria mero tantum flammae emi-*

Βησσοὶ δὲ τῶν Σατρέων εἰσὶ οἱ προφητεύοντες τοῦ ἱροῦ, πρόμαντις δὲ ἡ χρέωσα κατά περ ἐν Δελφοῖσι, καὶ οὐδὲν ποικιλώτερον.

112 *Παραμειψάμενος δὲ ὁ Ξέρξης τὴν εἰρημένην, δεύτερα τούτων παραμείβετο τείχεα τὰ Πιέρων, τῶν ἐνὶ*

cuisset, ut supergressa fastigium templi ad coelum usque ferretur, unique omnino Magno Alexandro apud easdem aras sacrificanti simile provenisset ostentum. Auch Pausanias IX 30 9 erwähnt dieses Orakels.

8. *Βησσοί*, auch *Βεσσοί* oder *Βέσσοι*, hier bei Her. zum Stamme der Satren gehörig, waren nach Strab. p. 318 ein rohes räuberisches Gebirgsvolk, das sich von der Rhodope nordwestwärts bis nach Illyrien ausdehnte, und bis in die Römerzeit eine mächtige Stellung behauptete. Als Inhaber des Heiligtums erscheinen sie noch unter Augustus (Dio Cass. LI 25). — Zum partitiven Genitiv *τῶν Σατρέων* vgl. II 56 4. — *εἰσὶ οἱ προφητεύοντες*, d. h. es sind diejenigen, aus deren Mitte der jedesmalige Prophet gewählt ward. Der *προφήτης*, der stellvertretende Verkünder (*-φητης* von *φημί*, Plat. Tim. 72 *τῆς δι' αἰνιγμῶν φήμης καὶ φαντάσεως ὑποκριτής*) der Gottheit, legt die Offenbarung, wenn sie durch Zeichen oder Träume gegeben wird, aus und wendet sie auf die vorgelegten Fragen an; oder fasst, bei Spruchorakeln, welche der oder die *πρόμαντις* als stellvertretende Seher und Organe der Gottheit in ihrer Ekstase vernehmen lassen (*χρᾶν*), in zusammenhängende Aussprüche (Pind. Fr. 118 *μαντεύεο Μοῖσα, προφατεύσω δ' ἐγώ*), und ist überhaupt die Mittelperson zwischen dem Gotte und der Menge, sowie der Vorsteher und Verwalter des Heiligtums. S. VIII 36 13. 37 3. IX 93 22; zu *πρόμαντις* VI 66 8. VII 141 11. VIII 135 10; beide Ausdrücke verwechselt II 55 5. VIII 135 15. — *τοῦ ἱροῦ*: Eurip. Ion 413 *τίς προφητεύει θεοῦ; — οἳ πλησίον θάσσουσι τρίποδος —, Δελφῶν ἀριστῆς οὓς ἐκλήρωσεν πάλος.* Lukian. ver. hist. II 33 *τὸ μαντεῖον οὗ προειστήκει προφητεύων Ἀντιφῶν ὁ τῶν ὀνείρων ὑποκριτής.* Vgl. zu II 35 19. Bei den Thraken scheinen diese Priester in abgelegenen Grotten und geheimnisvoller Abgeschlossenheit ein fast göttliches Ansehen und grofsen politischen Einfluſs besessen zu haben (vgl. Strab. p. 297 f. Dio Cass. LIV 34. Eurip. Rhesos 970 ff., und über den Geten Salmoxis zu IV 96 1). — *πρόμαντις*, sc. *ἐστί*, 'eine Priesterin aber ist es, welche die Antworten giebt', d. h. es ist ein Spruchorakel, nicht ein Traum-, Zeichen-, Los- oder sonstiges Orakel.

10. 'Und weiter ist da nichts was über das Gewöhnliche hinausgienge'. Über dies thrakische Orakel mochten sich bei den Hellenen, denen ein dionysisches Orakel an sich schon seltsam war, überspannte und wunderliche Vorstellungen verbreitet haben, die der Vf., ein gläubiger Verehrer des delphischen (vgl. I 48 u. s.), sich verpflichtet hält durch diese Anmerkung zu ernüchtern.

112. *δεύτερα τούτων* 'hierauf, ferner'. Vgl. c. 80 6. — Diese *Πίερες* waren, wie die Edonen und Bottiaeer, aus ihren Sitzen in Makedonien nördlich vom Olymp (c. 131 1) durch die Temeniden vertrieben, *οἳ ὕστερον ὑπὸ τὸ Πάγγαιον πέραν Στρυμόνος ᾤκησαν Φάγρητα καὶ ἄλλα χωρία, καὶ ἔτι καὶ νῦν Πιερικὸς κόλπος καλεῖται ἡ ὑπὸ τῷ Παγγαίῳ πρὸς*

Φάγρης ἐστὶ οὔνομα καὶ ἑτέρῳ Πέργαμος. ταύτῃ μὲν δὴ παρ' αὐτὰ τὰ τείχεα τὴν ὁδὸν ἐποιέετο, ἐκ δεξιῆς χειρὸς τὸ Πάγγαιον ὄρος ἀπέργων, ἐὸν μέγα τε καὶ ὑψηλόν, ἐν τῷ χρύσεά τε καὶ ἀργύρεα ἔνι μέταλλα, τὰ νέμονται Πίερές τε καὶ Ὀδόμαντοι καὶ μάλιστα Σάτραι. ὑπεροικέοντας δὲ τὸ Πάγγαιον πρὸς βορέω **113** *ἀνέμου Παίονας Δόβηράς τε καὶ Παιόπλας παρεξιὼν ἦιε πρὸς ἑσπέρην, ἐς ὃ ἀπίκετο ἐπὶ ποταμόν τε Στρυμόνα καὶ πόλιν Ἠιόνα, τῆς ἔτι ζωὸς ἐὼν ἦρχε Βόγης τοῦ περ ὀλίγῳ πρότερον τούτων λόγον ἐποιεύμην. ἡ δὲ γῆ αὕτη ἡ περὶ τὸ Πάγγαιον ὄρος καλέεται Φυλλίς, κατατείνουσα τὰ μὲν πρὸς ἑσπέρην ἐπὶ ποταμὸν Ἀγγίτην ἐκδιδόντα ἐς τὸν Στρυμόνα, τὰ δὲ πρὸς μεσαμβρίην τείνουσα ἐς αὐτὸν τὸν Στρυμόνα· ἐς τὸν οἱ Μά-*

θάλασσαν γῆ (Thuk. II 99). Doch blieb der Name *Πιερία* vorzugsweise an der durch den Musendienst berühmten alten Heimat haften.

3. *Φάγρης*, der erste Ort östlich von der Strymon-mündung (Strab. p. 331. Fr. 33. Skylax 67).

5. *τὸ Πάγγαιον ὄρος*: zu V 16 2.

7. *Ὀδόμαντοι*: zu V 16 3.

113. *ὑπεροικέοντας*, c. gen. IV 21 6. 37 2. — Hier marschiert Xerxes durch die nordwärts vom Pangäon gelegenen Gebiete, während er vorhin (c. 112) dies Gebirge zur Rechten das Küstengebiet der Pieren passiert. Er hatte sein Heer in drei Kolonnen geteilt (c. 121), von denen er wahrscheinlich zwei den Binnenweg (wo später die *via Egnatia*) durch die sapäischen Pässe einschlagen liefs, der sie den Nordfuſs des Pangäon entlang nach Enneahodoi führte, während er selber (vgl. c. 118 3 mit 121 14) mit dem dritten Zuge auf der Küstenstraſse nach Eïon gelangte. S. zu V 15 6. Die *Δόβηρες*, die westlich von jenen Pässen zwischen dem späteren Philippi und Amphipolis (Itiner. Hieros. 604) safsen, sind zu scheiden von dem gleichnamigen aber gröfseren päonischen Stamme in der Landschaft *Δόβηρος* zwischen dem oberen Axios und Strymon (Thukyd. II 98 ff. Strab. p. 331 Fr. 36). Von den *Παιόπλαι* s. V 15. 98.

4. *ἔτι ζωὸς ἐών*, für das Verständnis mehr als entbehrlich, da die Bedeutung des Mannes sowie seine Gefahr erst nach diesem Zuge sich herausstellte (c. 107). Wahrscheinlich ist der ganze Relativsatz erst später zugesetzt.

5. *λόγον ἐποιεύμην*, hier im Sinn von *μνήμην ἐποιεύμην* (IV 16 4). Vgl. zu I 30 11.

7. *τὰ πρὸς ἑσπέρης*, adverbial 'westwärts'; zu II 5 5. — *ἑσπέρη* 'Nordwest' und gleich *μεσαμβρίη* 'Südwest'. — *Ἀγγίτης*, j. Fluſs von Anghista.

10. *καλλιερέεσθαι* = *θύεσθαι*, mit der Absicht aus der Beschaffenheit des Opfers den Willen oder die Gesinnung der Gottheit zu erfahren; ebenso VI 82 10. VII 167 7. Das Aktiv *καλλιερέειν* aber vom Opfer (*ἱρά*) selbst und bei Her. impersonal (VI 76 9. VII 134 6. IX 19 6 (?). 38 5. 96 1), = *καλὰ* oder *χρηστὰ γίνεσθαι*. Zur Sache

114 γοι ἐκαλλιερέοντο σφάζοντες ἵππους λευκούς. φαρμακεύσαντες δὲ ταῦτα ἐς τὸν ποταμὸν καὶ ἄλλα πολλὰ πρὸς τούτοισι ἐν Ἐννέα ὁδοῖσι τῇσι Ἡδωνῶν ἐπορεύοντο κατὰ τὰς γεφύρας, τὸν Στρυμόνα εὑρόντες ἐζευγμένον. Ἐννέα δὲ ὁδοὺς πυνθανόμενοι τὸν χῶρον τοῦτον καλέεσθαι, τοσούτους ἐν αὐτῷ παῖδάς τε καὶ παρθένους ἀνδρῶν τῶν ἐπιχωρίων ζώοντας κατώρυσσον. Περσικὸν δὲ τὸ ζώοντας κατορύσσειν, ἐπεὶ καὶ Ἀμηστριν τὴν Ξέρξεω γυναῖκα πυνθάνομαι γηράσασαν δὶς ἑπτὰ Περσέων παῖδας ἐόντων ἐπιφανέων ἀνδρῶν ὑπὲρ ἑωυτῆς τῷ ὑπὸ γῆν λεγομένῳ εἶναι θεῷ ἀντιχαρίζεσθαι κατορύσσουσαν.

115 Ὡς δὲ ἀπὸ τοῦ Στρυμόνος ἐπορεύετο ὁ στρατός, ἐνθαῦτα πρὸς ἡλίου δυσμέων ἐστὶ αἰγιαλὸς ἐν τῷ οἰκη-

Etym. M. v. *καλλιέρημα*· Ἕλληνες δὲ τότε καλλιερεῖν νομίζουσιν, ὅταν δαίμονι τινὶ θύσαντες αἰσίων ἐπιτύχωσι σημείων ἐν τῷ ἤπατι τοῦ ἱερείου. καὶ τοῦτο καλοῦσι καλλιέρημα, ὅταν τῷ δαίμονι τὸ θῦμα ἢ φίλον διὰ τῶν ἐπιφαινομένων ἀπατηλῶν σημείων. — Mit dem Opfer folgten die Perser landesüblichem Brauche (vgl. VI 97 13. VII 43 8 f. VIII 133 3. IX 37 4). Nach ihrem eigenen Gesetz war zwar alles Wasser, zumal fliefsendes, heilig (I 131 9. 138 13), aber seine Verunreinigung eine schwere Sünde (I 138 11); opferten sie ihm, so gossen sie das Blut in eine abgesonderte Grube (Strab. p. 732). Der Strymon hatte auch bei den Hellenen göttliche Ehre (Aesch. Suppl. 254. Pers. 497 ἁγνὸς Στρυμών, C. I. gr. 2008 in einer amphipolitischen Inschrift τὸ δ' ἐπιδέκατον ἱρὸν τοῦ Ἀπόλλωνος καὶ τοῦ Στρυμόνος). Zu dem Kulte vgl. VI 76 8. VIII 138 6. Il. φ 132 ζωοὺς δ' ἐν δίνῃσι καθίετε (dem Flusse Skamandros) μώνυχας ἵππους.

114. 1. *φαρμακεύσαντες* will andeuten dafs das Opfer mit allerlei geheimnisvollen Gebräuchen und Zaubersprüchen verbunden war, die man mit dem Wesen der Mager so wesentlich verknüpft dachte (vgl. I 132 16), dafs schon zu H.'s Zeit μάγος gleichdeutig mit γόης, φαρμακεύς in Umlauf vor.

3. *ἐν Ἐννέα ὁδοῖσι*, 25 Stadien von Eïon aufwärts, wo die Athener 437 Amphipolis gründeten.

4. S. c. 24 8.

7 f. *Περσικόν*: andere Beispiele III 35 20. Ktes. Exc. Pers. 42 (von derselben Amestris). 55 (von der Parysatis). Vgl. jedoch zu I 140 4.

10 f. *τῷ – θεῷ*: vgl. II 122 *καταβῆναι κάτω ἐς τὸν οἱ Ἕλληνες ᾅδην νομίζουσι εἶναι*, und Einl. S. XXXV. Dem hellenischen Hades ist der iranische Angramainjus (d. i. ὀλοόφρων), der Fürst der bösen Geister und Widersacher des Ahuramazda, nur etwa insoweit vergleichbar, als er der todbringende ist und seine Scharen 'im Grunde der Hölle' (Vend. XIX 147) hausen. — *ὑπὸ γῆν*: zu V 10 6. — *ἀντιχαρίζεσθαι*, Inf. Impf. 'habe ihnen Dank (für das gewährte hohe Alter) beweisen wollen'. Von der Amestris vgl. IX 112.

115. Mit einer nicht seltenen

μένην Ἄργιλον πόλιν Ἑλλάδα παρεξήιε· αὕτη δὲ καὶ ἡ κατύπερθε ταύτης καλέεται Βισαλτίη. ἐνθεῦτεν δὲ κόλπον τὸν ἐπὶ Ποσιδηίου ἐξ ἀριστερῆς χειρὸς ἔχων ἤιε διὰ Συλέος πεδίου καλεομένου, Στάγιρον πόλιν Ἑλλάδα παραμειβόμενος, καὶ ἀπίκετο ἐς Ἄκανθον, ἅμα ἀγόμενος τούτων ⟨τε⟩ ἕκαστον τῶν ἐθνέων καὶ τῶν περὶ τὸ Πάγγαιον ὄρος οἰκεόντων, ὁμοίως καὶ τῶν πρότερον κατέλεξα, τοὺς μὲν παρὰ θάλασσαν ἔχων οἰκημένους ἐν νηυσὶ στρατευομένους, τοὺς δ' ὑπὲρ θαλάσσης πεζῇ ἑπομένους. τὴν δὲ ὁδὸν ταύτην, τῇ βασιλεὺς Ξέρξης τὸν στρατὸν ἤλασε, οὔτε συγχέουσι Θρήικες οὔτ' ἐπισπείρουσι σέβονταί τε μεγάλως τὸ μέχρι ἐμεῦ. ὡς δὲ **116** ἄρα ἐς τὴν Ἄκανθον ἀπίκετο, ξεινίην τε ὁ Ξέρξης τοῖσι Ἀκανθίοισι προεῖπε καὶ ἐδωρήσατο σφέας ἐσθῆτι Μηδικῇ ἐπαίνεέ τε, ὁρέων καὶ αὐτοὺς προθύμους ἐόντας ἐς τὸν πόλεμον καὶ τὸ ὄργυμα ἀκούων .... ἐν Ἀκάνθῳ **117** δὲ ἐόντος Ξέρξεω συνήνεικε ὑπὸ νούσου ἀποθανεῖν τὸν

Freiheit ist der historische Inhalt des Nachsatzes in die ihn erläuternde Bemerkung so verflochten, dafs diese den Hauptsatz bildet, jener in einen Relativsatz zurücktritt. Ähnlich VI 43 11.

3. *Ἑλλάδα*, eine Kolonie der Andrier; ebenso Stagiros und Akanthos (Thukyd. IV 84. 88. 103.) — *αὕτη*, sc. *ἡ γῆ*.

6. *Συλέος πεδίον*, wahrscheinlich der Thaleinschnitt, durch den der mehr landeinwärts gelegene See *Βόλβη* ins Meer abfloſs (*Αὐλών* Thukyd. IV 103). In der hellenisierten Sage ist Syleus Sohn des Poseidon, von Herakles wegen Mifshandlung der Fremden getötet (Apoll. II 6 3. Konon 17).

7. Akanthos ist eine Hauptstation, wie beim Zuge des Mardonios (VI 44 9). — *ἅμα ἀγόμενος* u. 10. *ἔχων*, als wäre *Ξέρξης* Subjekt.

8. *τούτων*, der diesseits des Strymon berührten.

9. Ohne Verkürzung: *ὁμοίως καὶ* (wie) *ἕκαστον ἦγετο τῶν ἐθνέων τῶν πρότερον κατέλεξα*. Der Rückweis geht auf c. 110.

10. Verschränkte Wortstellung wie I 54 5. 90 11. V 16 5. 23 4 u. s.

13. *συγχέουσι, diruunt* (IV 127 11. VII 225 16. VIII 71 7). Die Strafse war wohl, nach Art der persischen Heerstrafsen (V 52), eigens für den Marsch angelegt, und blieb den Einwohnern als ein kostbarer Besitz. Liv. XXXIX 27 (185 v. Chr.) wird diese *vetus via regia* als noch im Gebrauche erwähnt.

116. 2 f. *ξεινίην – προεῖπε* kann sowohl sein 'liefs ihnen Gastfreundschaft ankündigen, erklärte sie öffentlich für seine Gastfreunde' (vgl. III 142 16), als 'forderte sie zu gastlichem Empfange auf', *imperavit hospitia* (vgl. c. 119 4. 120 9). Die Zusammenstellung mit *ἐδωρήσατο* und *ἐπαίνεε* und die Vergleichung von c. 29 10. VIII 120 3 entscheiden für die erste Erklärung.

3. *ἐσθῆτι Μηδικῇ*: zu III 84 5.

5. Es fehlt etwa *ὡς ἔσπευσαν ὥστε ἐπιτελέεσθαι*. Die Akanthier

ἐπεστεῶτα τῆς διώρυχος Ἀρταχαίην, δόκιμον ἐόντα παρὰ Ξέρξῃ καὶ γένος Ἀχαιμενίδην, μεγάθεΐ τε μέγιστον ἐόντα Περσέων (ἀπὸ γὰρ πέντε πηχέων βασιληίων ἀπέλειπε τέσσερας δακτύλους) φωνέοντά τε μέγιστον ἀνθρώπων, ὥστε Ξέρξην συμφορὴν ποιησάμενον μεγάλην ἐξενεῖκαί τε αὐτὸν κάλλιστα καὶ θάψαι· ἐτυμβοχόεε δὲ πᾶσα ἡ στρατιή. τούτῳ δὲ τῷ Ἀρταχαίῃ θύουσι Ἀκάνθιοι ἐκ θεοπροπίου ὡς ἥρωι, ἐπονομάζοντες τὸ οὔνομα.

118 Βασιλεὺς μὲν δὴ Ξέρξης ἀπολομένου Ἀρταχαίεω ἐποιέετο συμφορήν. οἱ δὲ ὑποδεκόμενοι Ἑλλήνων τὴν στρατιὴν καὶ δειπνίζοντες Ξέρξην ἐς πᾶν κακοῦ ἀπίκατο, οὕτω ὥστε ἀνάστατοι ἐκ τῶν οἰκων ἐγίνοντο· ὅκου Θασίοισι ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ πολίων τῶν σφετερέων δεξαμένοισι τὴν Ξέρξεω στρατιὴν καὶ δειπνίσασι Ἀντίπατρος ὁ Ὀργέος ᾑρημένος . ., τῶν ἀστῶν ἀνὴρ δόκιμος ὅμοια τῷ μάλιστα, ἀπέδεξε ἐς τὸ δεῖ-
119 πνον τετρακόσια τάλαντα ἀργυρίου τετελεσμένα. ὡς δὲ παραπλησίως καὶ ἐν τῇσι ἄλλῃσι πόλισι οἱ ἐπεστεῶτες ἀπεδείκνυσαν τὸν λόγον. τὸ γὰρ δεῖπνον τοιόνδε τι ἐγίνετο, οἷα ἐκ πολλοῦ ⟨τε⟩ χρόνου προειρημένον καὶ περὶ πολλοῦ ποιευμένων· τοῦτο μέν, ὡς ἐπύθοντο τάχιστα

waren als nächste Anwohner an der Arbeit beteiligt (c. 22 6).

117. 5. *πηχέων βασιληίων*: zu I 178 15.

6. *ἀπέλειπε*: vgl. I 60 17. — *φωνέοντα μέγιστον*: ebenso IV 141 1.

9. *πᾶσα ἡ στρατιή*: vgl. IV 92 4.

10. *ὡς ἥρωι*: vgl. V 47 6. 114 8. — *ἐπονομάζοντες τὸ οὔνομα*: vgl. IV 35 10.

118. 3. *ἐς πᾶν κακοῦ* 'in die höchste Not', waren ganz unglücklich geworden (IX 118 1). Vgl. VIII 52 *ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι*, und zu II 124 2.

4. *ἀνάστατοι – ἐγίνοντο*, verloren Haus und Hof; soviel hatten sie aufwenden müssen oder war ihnen gestohlen worden.

5. *ὅκου, quando quidem* (I 68 8). — *ἐν τῇ ἠπείρῳ*: zu c. 109 10.

7. *ᾑρημένος*, sc. *ὑποδοχεύς* od. ä., um auf Kosten der Stadt die Verpflegung zu leiten.

8. *ὅμοια*, adverbial (III 8 2). — *ἀπέδεξε*, als er Rechnung legte (c. 119 3).

9. *τετρακόσια*: 2—300 Talente betrug damals ihre jährliche Staatseinnahme (VI 46 14).

119. 'Desgleichen legten — in ähnlicher Weise ihre Rechnung vor'. III 13 *ὡς δὲ Κυρηναῖοι – τοιαῦτα ἐποίησαν*, VII 206 *ὡς δὲ καὶ οἱ λοιποὶ ἐνένωντο καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιήσειν.*

4. *ἐκ πολλοῦ χρόνου*: s. c. 32.

τῶν κηρύκων τῶν περιαγγελλόντων, δασάμενοι σῖτον ἐν τῇσι πόλισι οἱ ἀστοὶ ἄλευρά τε καὶ ἄλφιτα ἐποίευν πάντες ἐπὶ μῆνας συχνούς· τοῦτο δὲ κτήνεα ἐσίτευον ἐξευρίσκοντες τιμῆς τὰ κάλλιστα, ἔτρεφόν τε ὄρνιθας χερσαίους καὶ λιμναίους ἔν τε οἰκήμασι καὶ λάκκοισι, ἐς ὑποδοχὰς τοῦ στρατοῦ· τοῦτο δὲ χρύσεά τε καὶ ἀργύρεα ποτήριά τε καὶ κρητῆρας ἐποιεῦντο καὶ τἆλλα ὅσα ἐπὶ τράπεζαν τιθέαται πάντα. ταῦτα μὲν αὐτῷ τε βασιλέι καὶ τοῖσι ὁμοσιτέουσι μετ' ἐκείνου ἐπεποίητο, τῇ δὲ ἄλλῃ στρατιῇ τὰ ἐς φορβὴν μοῦνα τασσόμενα. ὅκως δὲ ἀπίκοιτο ἡ στρατιή, σκηνὴ μὲν ἔσκε πεπηγυῖα ἑτοίμη ἐς τὴν αὐτὸς σταθμὸν ποιεέσκετο Ξέρξης, ἡ δὲ ἄλλη στρατιὴ ἔσκε ὑπαίθριος. ὡς δὲ δείπνου ἐγίνετο ὥρη, οἱ μὲν δεκόμενοι ἔχεσκον πόνον, οἱ δὲ ὅκως πλησθέντες νύκτα αὐτοῦ ἀγάγοιεν, τῇ ὑστεραίῃ τήν τε σκηνὴν ἀνα-
120 σπάσαντες καὶ τὰ ἔπιπλα πάντα λαβόντες οὕτω ἀπελαύνεσκον, λείποντες οὐδὲν ἀλλὰ φερόμενοι. ἔνθα δὴ Μεγακρέοντος ἀνδρὸς Ἀβδηρίτεω ἔπος εὖ εἰρημένον ἐγένετο, ὃς συνεβούλευσε Ἀβδηρίτῃσι πανδημεί, αὐτοὺς καὶ γυναῖκας, ἐλθόντας ἐς τὰ σφέτερα ἱρὰ ἵζεσθαι ἱκέτας τῶν θεῶν παραιτεομένους καὶ τὸ λοιπὸν σφι ἀπαμύνειν τῶν ἐπιόντων κακῶν τὰ ἡμίσεα, τῶν τε παροιχομένων ἔχειν σφι μεγάλην χάριν, ὅτι βασιλεὺς Ξέρξης οὐ δὶς ἑκάστης ἡμέρης ἐνόμισε σῖτον αἱρέεσθαι· παρέχειν γὰρ ἂν Ἀβδηρίτῃσι, εἰ καὶ ἄριστον προείρητο ὅμοια τῷ δείπνῳ παρασκευάζειν, ἢ μὴ ὑπομένειν Ξέρξην ἐπιόντα ἢ καταμείναντας κάκιστα πάντων ἀνθρώπων διατριβῆναι.

6. *δασάμενοι σῖτον*: das von Gemeindewegen gekaufte Getreide ward unter die Bürger verteilt, um es in ihren Häusern mahlen zu lassen. Öffentliche Mühlen gab es in diesen kleinen Städten schwerlich, würden wohl auch nicht zugereicht haben.

8. *ἐπί* nicht 'auf' sondern 'hindurch', ehe das Heer ankam.

9. *τιμῆς, pretio.*

10. *οἴκημα*, eigentlich jedes einzellige Gemach (II 121 *α* 5), hier 'Käfig' (sonst *οἰκίσκος*).

15. *τασσόμενα* 'gerechnet, gehörig'. — *ὅκως*: genauer *ὅκῃ*.

17. *σταθμὸν ποιεέσκετο, devertebatur.*

120. 7. *ἔχειν*, parallel zu *ἵζεσθαι* (4).

8 f. *παρέχειν γὰρ ἄν* 'sonst stände es bei den Abderiten, hätten sie zu wählen ob . . .'

11. *διατριβῆναι* = *ἀπολέσθαι*

121 Οἱ μὲν δὴ πιεζόμενοι ὅμως τὸ ἐπιτασσόμενον ἐπετέλεον. Ξέρξης δὲ ἐκ τῆς Ἀκάνθου, ἐντειλάμενος τοῖσι στρατηγοῖσι τοῦ ναυτικοῦ στρατοῦ ὑπομένειν ἐν Θέρμῃ, ἀπῆκε ἀπ' ἑωυτοῦ πορεύεσθαι τὰς νέας, Θέρμῃ δὲ τῇ ἐν τῷ Θερμαίῳ κόλπῳ οἰκημένῃ, ἀπ' ἧς καὶ ὁ κόλπος οὗτος τὴν ἐπωνυμίην ἔχει· ταύτῃ γὰρ ἐπυνθάνετο συντομώτατον εἶναι. μέχρι μὲν γὰρ Ἀκάνθου ὧδε τεταγμένος ὁ στρατὸς ἐκ Δορίσκου τὴν ὁδὸν ἐποιέετο· τρεῖς μοίρας ὁ Ξέρξης δασάμενος πάντα τὸν πεζὸν στρατόν, μίαν αὐτέων ἔταξε παρὰ θάλασσαν ἰέναι ὁμοῦ τῷ ναυτικῷ· ταύτης μὲν δὴ ἐστρατήγεον Μαρδόνιός τε καὶ Μασίστης, ἑτέρη δὲ τεταγμένη ἤιε τοῦ στρατοῦ τριτημορὶς τὴν μεσόγαιαν, τῆς ἐστρατήγεον Τριτανταίχμης τε καὶ Γέργις· ἡ δὲ τρίτη τῶν μοιρέων, μετ' ἧς ἐπορεύετο αὐτὸς Ξέρξης, ἤιε μὲν τὸ μέσον αὐτῶν, στρατηγοὺς δὲ παρείχετο Σμερδομένεά τε καὶ Μεγάβυζον.

122 Ὁ μέν νυν ναυτικὸς στρατὸς ὡς ἀπείθη ὑπὸ Ξέρξεω καὶ διεξέπλωσε τὴν διώρυχα τὴν ἐν τῷ Ἄθῳ γενομένην, διέχουσαν δὲ ἐς κόλπον ἐν τῷ Ἄσσα τε πόλις καὶ Πίλωρος καὶ Σίγγος καὶ Σάρτη οἴκηνται, ἐνθεῦτεν, ὡς καὶ ἐκ τουτέων τῶν πολίων στρατιὴν παρέλαβε, ἔπλεε ἀπιέμενος ἐς τὸν Θερμαῖον κόλπον, κάμπτων δὲ

(Thuk. VIII 78. 87). Vgl. *ἐκτρίβειν* VI 37 11 u. 14. 86 *δ* 6.

121. 4. *Θέρμῃ δέ* 'und zwar' (I 52 6).

6. *ταύτῃ*, in dieser Richtung. — *συντομώτατον* 'der kürzeste Weg' (vgl. zu IV 86 10), für das Landheer, mitten durch Chalkidike, ohne dafs, wie bisher, ein Drittel desselben der Flotte an der Küste entlang folgte (10). Vgl. zu c. 124 6.

7. *μέχρι – Ἀκάνθου*: auch auf dem Weitermarsche ward die Einteilung beibehalten (c. 131 2).

9. *μοίρας — δασάμενος*: zu I 94 23.

10. *ὁμοῦ* 'nahe'.

12 f. *ἤιε τὴν μεσόγαιαν* und 15 *ἤιε τὸ μέσον*: vgl. II 24 5.

14. *μετ' ἧς – Ξέρξης* ständen richtiger Z. 11 hinter *ναυτικῷ*.

Von Akanthos bis Therme (c. 122—126).

122. 2. S. zu c. 23 7.

3. *διέχουσαν, pertinentem* (II 91 16). — Über *δέ* vgl. zu c. 2 6. — *ἐν τῷ*, an der Westküste. — *Ἄσσα*, auch (*τὰ*) *Ἄσσηρα* in den attischen Tributlisten (Boekh. Staatsh. II 673).

4. *Σίγγος*, nach welcher der Mb. benannt ist.

6. *ἀπιέμενος*, von der weiteren Verfolgung dieser Küste ins offene Meer.

Ἄμπελον τὴν Τορωναίην ἄκρην παραμείβετο Ἑλληνίδας γε τάσδε πόλις, ἐκ τῶν νέας τε καὶ στρατιὴν παρελάμβανε, Τορώνην Γαληψὸν Σερμύλην Μηκύβερναν Ὄλυνθον. ἡ μέν νυν χώρη αὕτη Σιθωνίη καλέεται, ὁ δὲ [ναυ- **123**
τικὸς στρατὸς ὁ Ξέρξεω] συντάμνων ἀπ' Ἀμπέλου ἄκρης ἐπὶ Καναστραίην ἄκρην, τὸ δὴ πάσης τῆς Παλλήνης ἀνέχει μάλιστα, ἐνθεῦτεν νέας τε καὶ στρατιὴν παρελάμβανε ἐκ Ποτειδαίης καὶ Ἀφύτιος καὶ Νέης πόλιος καὶ Αἰγῆς καὶ Θεράμβω καὶ Σκιώνης καὶ Μένδης καὶ Σάνης· αὗται γὰρ εἰσὶ αἱ τὴν νῦν Παλλήνην πρότερον δὲ Φλέγρην καλεομένην νεμόμεναι. παραπλέων δὲ καὶ ταύτην τὴν χώρην ἔπλεε ἐς τὸ προειρημένον, παραλαμβάνων στρατιὴν καὶ ἐκ τῶν προσεχέων πολίων τῇ Παλλήνῃ, ὁμουρεουσέων δὲ τῷ Θερμαίῳ κόλπῳ, τῇσι οὐνόματα ἐστὶ τάδε, Λίπαξος Κώμβρεια Αἶσα Γίγωνος Κάμψα Σμίλα Αἴνεια· η δὲ τουτέων χώρη Κροσσαίη

7. *τὴν Τορωναίην*, im Gebiete und in der Nähe von Torone. — *παραμείβετο* 'liefs zur (rechten) Seite liegen' (vgl. c. 42 6. 115 7) ohne sie anzulaufen, wie aus c. 123 3 folgt. Die Aufnahme (*παρελάμβανε*) der Kontingente mufs nicht gerade als ein Abholen verstanden werden.

9. *Γαληψός*: bekannter ist der zu c. 109 10 genannte am Fufse des Pangaeon gelegene Ort des Namens. — *Σερμύλη*, auch *Σερμυλία*, am Halse der Halbinsel. — *Μηκύβερνα, τῆς Ὀλύνθου ἐπίνειον* (Strab. p. 330 Fr. 29).

123. 2. *συντάμνων*, sc. *τὴν ὁδόν*, 'geradaus fahrend'. Vgl. V 41 10.

3. *Καναστραίη ἄκρη*, auch *Κάναστρον, τῆς Παλλήνης ἱερὸν ἀκρωτήριον* (Skylax 66). — *τό* 'welcher Punkt', mit freiem Bezuge auf *K. ἄκρην*. Ähnlich IV 23 11. V 92 *α* 6.

5 f. *Ποτειδαίης – Θεράμβω*, alles Städte an der östlichen Seite Pallenes, am toronäischen Meerbusen; nur Poteidäa, auf dem Isthmos der Halbinsel, lag auch zugleich am thermäischen. — *Θεράμβω*, Nom. *Θεράμβως*, wie *Ἄθως Ἄθω*; auch *Θράμβος Θραμβοῦς Θράμβαι* (Boeckh II 690); am gleichnamigen Vgb. — *Σκιώνης – Σάνης*, auf der westlichen Pallene. — *Σάνη*: zu c. 22 15.

8. *καλεομένην*, nicht als wirklicher Name, sondern in der epischen Behandlung der Gigantensage, deren Kampf mit den Göttern hier lokalisiert wurde; wahrscheinlich mit Hinspielung auf vulkanischen Charakter des Bodens (*φλέγειν*), wie sich, aus ähnlichem Anlafs, Name und Sage auch bei Cumae in Kampanien finden (*campi Phlegraei*).

9. *ἐς τὸ προειρημένον, quo iussi erant*, ans aufgegebene Ziel, näml. Therme (19).

12. *Αἶσα* (st. hss. *Δισαί*), unter welchem Namen die Stadt in den Tributlisten neben *Σμίλλα* und *Γίγωνος* steht. St. B. s. v. *Αἶσα, πόλις Θράκης προσεχὴς τῇ Παλλήνῃ*.

13. *Κάμψα*: auch *Κάψα* u. *Σκά-*

ἔτι καὶ ἐς τότε καλέεται. ἀπὸ δὲ Αἰνείης, ἐς τὴν ἐτε-
λεύτων καταλέγων τὰς πόλις, ἀπὸ ταύτης ἤδη ἐς αὐτόν
τε τὸν Θερμαῖον κόλπον ἐγίνετο τῷ ναυτικῷ στρατῷ
ὁ πλόος καὶ γῆν τὴν Μυγδονίην, πλέων δὲ ἀπίκετο
ἔς τε τὴν προειρημένην Θέρμην καὶ Σίνδον τε πόλιν
καὶ Χαλέστρην ἐπὶ τὸν Ἄξιον ποταμόν, ὃς οὐρίζει
χώρην τὴν Μυγδονίην τε καὶ Βοττιαιίδα, τῆς ἔχουσι
τὸ παρὰ θάλασσαν στεινὸν χωρίον πόλιες Ἴχναι τε καὶ
Πέλλα.

124 Ὁ μὲν δὴ ναυτικὸς στρατὸς αὐτοῦ περὶ Ἄξιον πο-
ταμὸν καὶ πόλιν Θέρμην καὶ τὰς μεταξὺ πόλιας τούτων
περιμένων βασιλέα ἐστρατοπεδεύετο, Ξέρξης δὲ καὶ ὁ
πεζὸς στρατὸς ἐπορεύετο ἐκ τῆς Ἀκάνθου τὴν μεσό-
γαιαν τάμνων τῆς ὁδοῦ, βουλόμενος ἐς τὴν Θέρμην

ψα (Boeckh II 729). — *Κροσσαίη*, sonst *Κρουσίς* (Thuk. II 79. Steph. B. s. v.).

17. *Μυγδονίην*, östlich vom untern Axios bis zum See Bolbe (Thuk. I 56), so genannt nach ihren einstigen Bewohnern (*Μυγδόνες*). Vgl. zu c. 73 2. — *ἀπίκετο* ist nur bei *ἐς Θέρμην* wörtlich zu nehmen.

18. *Σίνδος*: die Form bezeugt Arkad. 48 9; Steph. B. las *Σίνθος*; in Inschriften *Σίνος* (Boeckh II 728).

19. *Χαλέστρη*, sonst *Χαλάστρα*, an der Mündung des Axios, an einem nach ihr benannten Natronsee.

20 f. *τε καί*, wie I 72 4. — *Βοττιαίης*, auch *Βοττία*, nach ihren früheren Einwohnern (*Βοττιαῖοι*), die von den Makedonen vertrieben in Chalkidike neue Sitze gefunden hatten (VIII 127 4. Thuk. II 99). Die Landschaft ward durch den Unterlauf des Axios und die vereinigten Flüsse Lydias und Haliakmon (c. 127 5) begrenzt, zwischen denen sie meerwärts in ein schmales keilförmiges Gebiet (*στεινὸν χωρίον*) auslief, das sich unter die Städte Ichnae und Pella teilte, ohne daſs diese selbst am Meere lagen.

124. 2. *τὰς μεταξὺ πόλιας*, die eben c. 123 19 f. genannten. — *τούτων*: bezieht sich auf den Fluſs und die Stadt (vgl. c. 128 3). Die Stellung wie I 104 5.

3. *ἐστρατοπεδεύετο*: die Flotte ist auch ein *στρατόπεδον* (c. 181 10. 236 10). Vgl. zu V 36 22.

4 f. *τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ* 'den geraden Weg mitten durchs Land einschlagend'. Das Eigenartige und Befremdende in dieser wahrscheinlich volkstümlichen Redensart (noch einmal IX 89 20) liegt in der Verbindung *τὴν μεσόγαιαν τῆς ὁδοῦ*. Man sagte sowohl *τάμνειν μέσην ὁδὸν* als *μέσην γῆν* (d. i. *μεσόγαιαν*), beides von der kürzesten und geradesten Wegerichtung, und so würde auch eine Verbindung wie *τάμνειν τὰ σύντομα* oder *τὸ συντομώτατον τῆς ὁδοῦ* (vgl. I 185 32. IV 136 10. VII 121 6) nicht auffallen. Hier ist nun an die Stelle von *τὰ σύντομα* das konkrete *τὴν μεσόγαιαν* getreten. In ähnlicher Weise erklärt sich IV 12 *ἐς μεσόγαιαν τῆς ὁδοῦ τραφθέντες*. Vgl. auch V 83 *ἱδρύσαντο τῆς σφετέρης χώρης ἐς τὴν μεσόγαιαν* ('in das Innere').

ἀπικέσθαι. ἐπορεύετο δὲ διὰ τῆς Παιονικῆς καὶ Κρη-
στωνικῆς ἐπὶ ποταμὸν Χείδωρον, ὃς ἐκ Κρηστωναίων
ἀρξάμενος ῥέει διὰ Μυγδονίης χώρης καὶ ἐξιεῖ παρὰ
τὸ ἕλος τὸ ἐπ' Ἀξίῳ ποταμῷ. πορευομένῳ δὲ ταύτῃ **125**
λέοντές οἱ ἐπεθήκαντο τῇσι σιτοφόροισι καμήλοισι.
καταφοιτέοντες γὰρ οἱ λέοντες τὰς νύκτας καὶ λείποντες
τὰ σφέτερα ἤθεα ἄλλου μὲν οὐδενὸς ἅπτοντο οὔτε
ὑποζυγίου οὔτε ἀνθρώπου, οἳ δὲ τὰς καμήλους ἐκεράι-
ζον μούνας. θωμάζω δὲ τὸ αἴτιον ὅ τι κοτὲ ἦν τῶν
ἄλλων τὸ ἀναγκάζον ἀπεχομένους τοὺς λέοντας τῇσι
καμήλοισι ἐπιτίθεσθαι, τὸ μήτε πρότερον ὀπώπεσαν
θηρίον μήτ' ἐπεπείρεατο αὐτοῦ. εἰσὶ δὲ κατὰ ταῦτα **126**
τὰ χωρία καὶ λέοντες πολλοὶ καὶ βόες ἄγριοι, τῶν τὰ
κέρεα ὑπερμεγάθεα ἐστὶ τὰ ἐς Ἕλληνας φοιτέοντα. οὖ-
ρος δὲ τοῖσι λέουσι ἐστὶ ὅ τε δι' Ἀβδήρων ῥέων πο-
ταμὸς Νέστος καὶ ὁ δι' Ἀκαρνανίης ῥέων Ἀχελῷος· 5
οὔτε γὰρ τὸ πρὸς τὴν ἠῶ τοῦ Νέστου οὐδαμόθι πάσης
τῆς ἔμπροσθε Εὐρώπης ἴδοι τις ἂν λέοντα, οὔτε πρὸς

6. *Παιονικῆς*, das Land der Sirio-Päonen am Strymon. Westwärts dieses Stromes kam er an die Quellen des Cheidoros (h. Galliko), um welche die Krestonäer saſsen, und diesen Fluſs abwärts nach Therme. Dies war nun keineswegs die nähere Straſse (c. 121 6) von Akanthos aus, die vielmehr in geradester Linie durch Chalkidike lief. Der Widerspruch liegt wohl nur in der abgekürzten Darstellung; ein Drittel des Heeres wird jene kürzere Richtung, ein zweites gleich von Eïon aus den Weg am Bolbe-See vorbei (wie bei Aesch. Pers. 489 auf der Rückkehr), das letzte endlich jenen nördlichen Weg eingeschlagen haben, da die Verpflegung auf einer Straſse unmöglich war.

7. *Χείδωρος*; bei anderen in hellenisierter Form *Ἐχέδωρος*.

125. 2. *οἱ* statt des possessiven Pronomens (I 34 16).

3. *τὰς νύκτας*: vgl. I 181 18 u. zu VII 50 22.

5. *οἳ δέ* 'sondern' (I 17 9).

6. *τῶν ἄλλων* (*ἀπεχομένους*) hat emphatische Stellung; vgl. zu V 87 16.

8. *οὔτε*: eig. *μήτε*. S. zu III 65 27.

126. 2. *πολλοί* geh. auch zu *ἄγριοι βόες*. Vgl. II 68 12.

3. *φοιτέοντα*, als Handelsartikel (III 115 6).

4. *δι' Ἀβδήρων*, durch das Gebiet von Abdera. Paus. VI 5 3 *Νέστου ποταμοῦ τοῦ ῥέοντος διὰ τῆς Ἀβδηριτῶν*. Ähnlich I 15 *ἐσέβαλε στρατιὴν ἐς Μίλητον*.

6. *τὸ πρὸς τὴν ἠῶ*, adverbial, 'ostwärts' (IV 99 1).

7. *ἔμπροσθε* ist hier nicht, wie IV 24 2, mit dem *terminus citra quem* verbunden, so daſs die östliche Ausdehnung unbegrenzt bleibt. Dem Autor schwebt wahrscheinlich

ἑσπέρης τοῦ Ἀχελῴου ἐν τῇ ἐπιλοίπῳ ἠπείρῳ, ἀλλ᾽ ἐν τῇ μεταξὺ τούτων τῶν ποταμῶν γίνονται.

127 Ὡς δὲ ἐς τὴν Θέρμην ἀπίκετο ὁ Ξέρξης, ἵδρυσε αὐτοῦ τὴν στρατιήν. ἐπέσχε δὲ ὁ στρατὸς αὐτοῦ στρατοπεδευόμενος τὴν παρὰ θάλασσαν χώρην τοσήνδε, ἀρξάμενος ἀπὸ Θέρμης πόλιος καὶ τῆς Μυγδονίης μέχρι Ἀυδίεώ τε ποταμοῦ καὶ Ἁλιάκμονος, οἳ οὐρίζουσι γῆν τὴν Βοττιαίδα τε καὶ Μακεδονίδα, ἐς τὠυτὸ ῥέεθρον τὸ ὕδωρ συμμίσγοντες. ἐστρατοπεδεύοντο μὲν δὴ ἐν τούτοισι τοῖσι χωρίοισι οἱ βάρβαροι, τῶν δὲ καταλεχθέντων τούτων ποταμῶν [ἐκ Κρηστωναίων ῥέων] Χείδωρος μοῦνος οὐκ ἀντέχρησε τῇ στρατιῇ πινόμενος ἀλλ᾽ ἐπέλιπε.

128 Ξέρξης δὲ ὀρέων ἐκ τῆς Θέρμης ὄρεα τὰ Θεσσαλικά, τόν τε Ὄλυμπον καὶ τὴν Ὄσσαν, μεγάθεϊ τε ὑπερμήκεα ἐόντα, διὰ μέσου τε αὐτῶν αὐλῶνα στεινὸν πυνθανόμενος εἶναι δι᾽ οὗ ῥέει ὁ Πηνειός, ἀκούων τε ταύτῃ εἶναι ὁδὸν ἐς Θεσσαλίην φέρουσαν, ἐπεθύμησε

der Pontos als bekannte und darum selbstverständliche Grenze vor. Denn seine sonstige Theorie über die östliche Weite Europas (IV 42 4) überträgt er nicht in den gewöhnlichen Sprachgebrauch.

Rast in Therme; Exkurs nach Tempe (c. 127—131).

127. 2. *ἐπέσχε*, *occupavit* (I 104 11).

3. *τοσήνδε*, *ἀρξάμενος*: vgl. c. 19 12. 36 3.

5. *Ἀυδίης* (-*ας*), auch *Λουδίας* und *Λοιδίας*, kommt zunächst aus dem See bei Pella (Janitza) h. Karasmak oder Mavronero; *Ἁλιάκμων*, entspringt auf dem Pindos, h. Vistriza. Bei Skylax 66 hat jeder Fluſs seine eigene Mündung, heute ergieſst sich der Lydias in den Axios; was sich aus der Veränderlichkeit der sumpfigen Küsten, aus Alluvionen, auch wohl aus Wasserbauten der makedonischen Zeit erklärt. — *οἳ οὐρίζουσι*, nach ihrer Vereinigung; weiter aufwärts machte der Lydias allein die Scheide.

6. *Μακεδονίς* ‘Land der Makedonen’, mit bedachter Unterscheidung von der weitergreifenden *Μακεδονίη* (zu V 17 7), beschränkt sich auf die ursprüngliche Herrschaft der Termeniden in der Ebene zwischen Haliakmon und Axios und den Abfällen des Bermios-Gebirges mit der Stadt Edessa (Ägä) als Haupt- und Mittelpunkt (s. VIII 138 10 ff.); auch, mit Einschluſs von Pierien und Bottiäa, *Ἡμαθίη* und *ἡ κάτω Μακεδονίη* c. 173 7 genannt, in Ggs. zu *ἡ ἄνω M.* c. 128 7.

10. *ἀντέχρησε*, noch c. 187 8. Synonym *ἀντέσχε* und *ἀπέχρησε* (c. 43 4. 58 13 u. s.).

128. 2. *τε* sollte eigentlich oben hinter *ὀρέων* oder *ὄρεα* stehen. S. zu I 207 35.

πλώσας θεήσασθαι τὴν ἐκβολὴν τοῦ Πηνειοῦ, ὅτι τὴν ἄνω ὁδὸν ἔμελλε ἐλᾶν διὰ Μακεδόνων τῶν κατύπερθε οἰκημένων ἔστε Περραιβοὺς παρὰ Γόννον πόλιν· ταύτῃ

6. *ὅτι* ..., so daſs er voraussichtlich später nicht mehr Gelegenheit hatte die groſsartige und merkwürdige Örtlichkeit zu sehen. Vgl. übrigens das Beispiel seines Vaters IV 85.

7 f. Vom unteren Makedonien führen überhaupt drei Straſsen nach Thessalien hinüber: 1. am Ostfuſse des Olympos den schmalen Küstenstreifen entlang bis zur Mündung des Peneios und von da in enger Schlucht den Fluſs hinauf bis zur Stadt Gonnos (Tempe-Paſs); 2. durch die Einsenkung zwischen dem westlichen Olymp und den pierischen Bergen in das Quellgebiet des Titaresios oder Europos (Nebenfluſs des Peneios) und das Land der Perrhäber (Petra-Paſs); 3. in weiter Umgehung des ganzen Gebirges samt seinen nördlichen Abhängen, am Ufer des Haliakmon hinauf und dann, mit südöstlicher Abbiegung durch einen tiefen Sattel der kambunischen Gebirge (Volustana, j. Volutza) ebenfalls zum oberen Titaresios (Paſs von Volustana, jetzt von Servia). Aufserdem zieht sich ein äuſserst beschwerlicher Gebirgspfad von Herakleion an der Küste über den südlichen Olymp am Askuris-see vorbei und durch perrhäbisches Gebiet hinab zum festen Gonnos, dem Schlüssel zum Tempe-Paſs (Liv. XLIV 2 ff.). — *Μακεδόνες οἱ κατύπερθε οἰκημένοι* sind die in dem s. g. Obermakedonien (*ἡ ἄνω Μακεδονίη*, c. 173 24. VIII 137 6), d. h. in den oberen Thälern und Thalbecken des Haliakmon und Erigon sessigen Stämme der Elimioten, Oresten und Lynkesten, die, zwar den Makedonen verwandt und botmäſsig, bis auf Alexander d. Gr. eigene Fürstentümer bildeten (Thuk. II 99). Hier sind zunächst die südlichsten, die Bewohner von *Ἐλιμία* verstanden, durch deren Gebiet man ziehen muſste, um den Paſs von Volustana zu gewinnen. In den makedonisch-römischen Kriegen wird diese Straſse öfter erwähnt (Liv. XLII 53 *Perseus postero die in Elimeam ad Haliacmona fluvium processit, deinde saltu angusto superatis montibus, quos Cambunios vocant, descendit ad Azorum Pythium et Dolichen: Tripolim vocant incolentes*). Daſs Xerxes diese Straſse und wahrscheinlich auch die durch den Petra-Paſs, wohin er durch das pierische Bergland gelangte, gewählt hat, ist einmal an sich wahrscheinlich, wird aber auch aus H.'s eigener Angabe evident (s. 9 *ἀσφαλέστατον*, c. 131 2. 173 24). H. selbst aber, dem die Lokalitäten nicht klar geworden sind, verrät durch den wiederholten Zusatz *παρὰ Γόννον πόλιν* (c. 173 25) daſs er unter *ἡ ἄνω ὁδός* jenen Gebirgspfad verstanden hat, der doch keineswegs *ἀσφαλέστατον* war (Liv. XLIV 3 *adeo ardua et aspera et confragosa via fuit, ut praemissi expediti biduo XV m. p. aegre itinere confecto castra posuerint.* ib. 5 *inenarrabilis labor descendentibus cum ruina iumentorum sarcinarumque*), leicht gesperrt werden konnte (Liv. ib. 6), und überdies unmittelbar vor dem Tempe-Paſs auslief, dessentwegen Xerxes die Exkursion von Therme unternommen haben soll. Die Bestimmung *ἐς Περραιβούς* paſst auch auf den Gebirgspfad (Strab. p. 440), vorzugsweise aber auf die beiden westlichen Straſsen, wo dies vorhellenische einst über den gröſseren Teil Thessaliens und selbst des nördlichen Euböa verbreitete, damals aber schon auf die Gebirgs-

γὰρ ἀσφαλέστατον ἐπυνθάνετο εἶναι. ὡς δὲ ἐπεθύμησε, καὶ ἐποίεε ταῦτα· ἐσβὰς ἐς Σιδωνίην νέα, ἐς τήν περ ἐσέβαινε αἰεὶ ὅκως τι ἐθέλοι τοιοῦτο ποιῆσαι, ἀνέδεξε σημήιον καὶ τοῖσι ἄλλοισι ἀνάγεσθαι, καταλιπὼν αὐτοῦ τὸν πεζὸν στρατόν. ἐπεὶ δὲ ἀπίκετο καὶ ἐθεήσατο Ξέρξης τὴν ἐκβολὴν τοῦ Πηνειοῦ, ἐν θώματι μεγάλῳ ἐνέσχετο, καλέσας δὲ τοὺς κατηγεμόνας τῆς ὁδοῦ εἴρετο εἰ τὸν ποταμὸν ἐστὶ παρατρέψαντα ἑτέρῃ ἐς θάλασσαν
129 ἐξαγαγεῖν. τὴν δὲ Θεσσαλίην λόγος ἐστὶ τὸ παλαιὸν εἶναι λίμνην, ὥστε γε συγκεκλημένην πάντοθεν ὑπερμήκεσι ὄρεσι. τὰ μὲν γὰρ αὐτῆς πρὸς τὴν ἠῶ ἔχοντα τό τε Πήλιον ὄρος καὶ ἡ Ὄσσα ἀποκλήιει συμμίσγοντα τὰς ὑπωρέας ἀλλήλοισι, τὰ δὲ πρὸς βορέω ἀνέμου Ὄλυμπος, τὰ δὲ πρὸς ἑσπέρην Πίνδος, τὰ δὲ πρὸς μεσαμβρίην τε καὶ ἄνεμον νότον ἡ Ὄθρυς· τὸ μέσον δὲ τούτων τῶν λεχθέντων ὀρέων ἡ Θεσσαλίη ἐστὶ ἐοῦσα κοίλη. ὥστε ὦν ποταμῶν ἐς αὐτὴν καὶ ἄλλων συχνῶν ἐσβαλλόντων, πέντε δὲ τῶν δοκίμων μάλιστα

kantone zwischen Pindos und Peneios beschränkte Volk in der s. g. Tripolis noch ein von den Thessalern abhängiges Dasein fristete. — ἔστε, nur hier von Her. als Präposition gebraucht, falls er nicht ἔστ' ἐπὶ geschrieben. Beispiele des seltenen Gebrauchs sind Arrian. Indic. II 2 παρατείνει ἔστε τὴν πρὸς ἕω θάλασσαν. Inschrift von Priene bei Boeckh. C. I. Gr. 2905 ἀπὸ δὲ τούτων ἐπ' εὐθείας ἀ φάραγξ ὁρίζει ἔστε τὸν ὄρον .. καὶ ἀπὸ τούτου παρὰ τὸν βουνὸν ἔστε καὶ τὰν φάραγγα κτλ.

9. ἀσφαλέστατον 'der sicherste Weg' (IV 86 10). Der Weg durch die schmale und sumpfige Küstenebene konnte leicht verteidigt werden, und die noch heute fahrbare Straſse durch die enge Schlucht von Tempe, falls sie damals schon angelegt war, bot, auch ungesperrt, einem solchen Heere die gröfsten Schwierigkeiten. Dennoch erwarteten hier die Hellenen anfangs den Feind (c. 173).

10. καὶ ἐποίεε ταῦτα: das Imperfekt in dieser Wendung auch I 79 6. 113 2. VII 59 8. 100 3. VIII 64 5.

15. ἐνέσχετο, passivisch (I 31 27). Die Redensart noch VIII 135 12. IX 37 20. — εἴρετο: die Antwort erst c. 130.

129. 2. εἶναι, Infin. Imperf., wie I 4 2. — ὥστε = ἅτε, *quippe*.

7. Zur Wortfolge in ἄνεμον νότον vgl. VIII 96 5.

9. ἐοῦσα, neben ἐστί auch III 108 5; nicht unmittelbar III 49 6. 109 14. IV 47 3. VII 73 3; ἐόντας ἐοῦσα VII 176 10.

10 ff. 'Als die fünf bedeutendsten aber diese'. Die Stellung von πέντε wie c. 47 13. — δοκίμων, an Länge, Breite und Wassermenge. — Her. spricht auch hier nicht nach klarer Autopsie; denn während er den obskuren Onochonos aufführt, ver-

τῶνδε, Πηνειοῦ καὶ Ἀπιδανοῦ καὶ Ὀνοχώνου καὶ Ἐνιπέος καὶ Παμίσου, οἳ μέν νυν ἐς τὸ πεδίον τοῦτο συλλεγόμενοι ἐκ τῶν ὀρέων τῶν περικληιόντων τὴν Θεσσαλίην ὀνομαζόμενοι δι' ἑνὸς αὐλῶνος καὶ τούτου στεινοῦ ἔκροον ἔχουσι ἐς θάλασσαν, προσυμμίσγοντες τὸ ὕδωρ πάντες ἐς τωὐτό· ἐπεὰν δὲ συμμειχθέωσι τάχιστα, ἐνθεῦτεν ἤδη ὁ Πηνειὸς τῷ οὐνόματι κατακρατέων ἀνωνύμους τοὺς ἄλλους εἶναι ποιέει. τὸ δὲ παλαιὸν λέγεται, οὐκ ἐόντος κω τοῦ αὐλῶνος καὶ διεκρόου τούτου, τοὺς ποταμοὺς τούτους, καὶ πρὸς τοῖσι ποταμοῖσι τούτοισι τὴν Βοιβηίδα λίμνην, οὔτε ὀνομά-

gifst er des viel bekannteren (Il. β 753) und bedeutenderen Titaresios (oder Eurōpos) am linken Peneiosufer, und sperrt den Apidanos vom zugehörigen Enipeus (zu c. 196 11). Der Onochonos mufs einer der vielen kleinen (c. 196 9) Nebenflüsse des Peneios, wahrscheinlich auf dem rechten Ufer sein. Den Pamisos hält man für den vom südlichen Pindos strömenden Fl. von Phanari oder Piliuri. — οἳ μέν, Ggs. ὁ δὲ Πηνειός. Doch ist der Gegensatz nur scheinbar, da das Prädikat (ἔκροον ἔχουσι ἐς θάλασσαν) gerade diesem Flusse zukommt; daher denn im fg. Satze (16) die Antithese eine andere Wendung nimmt. — μέν νυν, in der Apodosis, wie I 85 12. II 42 2.

14 ff. ὀνομαζόμενοι, unter eigenen Namen, als selbständige Flüsse. Doch gilt das nur für so lange als sie nicht mit dem Peneios sich vereinigt haben (18) und erst nachdem sie dies gethan, ergiefsen sie ihre Wasser durch die enge Thalrinne (αὐλών) von Tempe ins Meer. Es steht also ὀνομαζόμενοι in einem Widerspruch mit dem fg. Prädikate, den das nachträgliche προσυμμίσγοντες – ἐς τωὐτό nur notdürftig beseitigt; zumal die Participia Praes. bei Beschreibung dieser dauernden Zustände zwar einerseits sachgemäfs, aber nicht geeignet sind die räumliche Folge derselben (συλλεγόμενοι – ὀνομαζόμενοι – προσυμμίσγοντες – ἔκροον ἔχουσι) deutlich zu machen. Klarer wäre die Satzgliederung etwa so: οἳ μέν νυν ἐς τὸ πεδίον τοῦτο συλλεγόμενοι ἐκ τῶν ὀρέων τῶν περικληιόντων τὴν Θεσσαλίην τέως μὲν ὀνομάζονται· ἐπεὰν δὲ συμμείξωσι τὸ ὕδωρ πάντες ἐς τωὐτό, δι' ἑνὸς αὐλῶνος καὶ τούτου στεινοῦ ἔκροον ἔχουσι ἐς θάλασσαν· συμμειχθέντων δὲ ἐνθεῦτεν ἤδη ὁ Πηνειὸς κτλ. Auch die Worte ἐπεὰν δὲ συμμειχθέωσι ... sind nicht ganz entsprechend; denn sie erzeugen die Vorstellung, entweder dafs der Gesamtname Peneios erst nach der Aufnahme sämtlicher Nebenflüsse zu gelten anfange, oder dafs eine Fortdauer der übrigen Namen auch nach der Vereinigung noch denkbar sei. Die ganze Betrachtung hat nur eine gewisse Wahrheit für das Flufssystem oberhalb Larissa; hätte Her. den Titaresios mit herangezogen, so würde er sie wohl ganz unterlassen haben.

21. Βοιβηίς λίμνη, j. Karlá-See, in einer an der Westgrenze Magnesias sich hinziehenden tiefen Niederung, die, auf drei Seiten von Höhenzügen eingeschlossen, nur nach Nordwest mit der etwas höhe-

ζεσθαι κατά περ νῦν ῥέειν τε οὐδὲν ἧσσον ἢ νῦν, ῥέοντας δὲ ποιέειν τὴν Θεσσαλίην πᾶσαν πέλαγος. αὐτοὶ μέν νυν Θεσσαλοί φασι Ποσειδέωνα ποιῆσαι τὸν αὐλῶνα δι' οὗ ῥέει ὁ Πηνειός, οἰκότα λέγοντες. ὅστις γὰρ νομίζει Ποσειδέωνα τὴν γῆν σείειν καὶ τὰ διεστεῶτα ὑπὸ σεισμοῦ τοῦ θεοῦ τούτου ἔργα εἶναι, κἂν ἐκεῖνο ἰδὼν φαίη Ποσειδέωνα ποιῆσαι· ἔστι γὰρ σεισμοῦ ἔργον, ὡς ἐμοὶ φαίνεται εἶναι, ἡ διάστασις τῶν ὀρέων. **130** οἱ δὲ κατηγεόμενοι, εἰρομένου Ξέρξεω εἰ ἔστι ἄλλη ἔξοδος ἐς θάλασσαν τῷ Πηνειῷ, ἐξεπιστάμενοι ἀτρεκέως εἶπον „βασιλεῦ, ποταμῷ τούτῳ οὐκ ἔστι ἄλλη ἐξήλυσις ἐς θάλασσαν κατήκουσα, ἀλλ' ἥδε αὐτή· ὄρεσι γὰρ περιεστεφάνωται πᾶσα Θεσσαλίη." Ξέρξην δὲ λέγεται εἰπεῖν πρὸς ταῦτα „σοφοὶ ἄνδρες εἰσὶ Θεσσαλοί. ταῦτ' ἄρα πρὸ πολλοῦ ἐφυλάξαντο γνωσιμαχέοντες καὶ τἆλλα καὶ ὅτι χώρην ἄρα εἶχον εὐαίρετόν τε καὶ ταχυά-

ren Ebene des Peneios zusammenhängt. Durch eine Wasserrinne (Asmák), die ihn mit dem nordwestlich vorliegenden Nessonis-See und diesen mit dem Peneios verbindet, wird ihm der gröfste Teil seines Wassers zugeführt. Vor Durchbruch des Tempe-Passes mufsten also die Gewässer des thessalischen Beckens die ganze Niederung anfüllen und konnte der See noch keine abgesonderte Existenz haben. — *ὀνομάζεσθαι*, als wirkliche und nennenswerte Flüsse, indem sie damals gar nicht bis in die Ebene gelangten, sondern schon auf den Höhen vom Binnensee aufgenommen wurden.

25. *οἰκότα, consentanea.* Nur lehnt der Vf. für sein Teil die Einmischung des Gottes ab.

26. *τὴν γῆν σείειν*: daher seine Beinamen *ἐνοσίχθων, ἐννοσίγαιος, σεισίχθων*. Der thessalische ward darum als *πέτραιος* verehrt (Schol. Pind. P. IV 245).

29. Als stärksten Beweis für diesen Ursprung der Spalte erkannte schon Philostratos (Imag. II 17) die zickzackförmigen, in Vorsprüngen und Klüften gegenseitig genau entsprechenden, wie plötzlich auseinander gerissenen Thalwände. Auch sind die beiderseitigen Felsen von gleicher Art und Farbe.

130. 3. *τούτῳ*: zu c. 49 2.

4. *κατήκουσα, decurrens*; vgl. zu c. 22 4. — *αὐτή* = *μούνη* (V 68 6).

6. *σοφοί* 'schlaue' (II 49 11).

7 f. Die Worte *ταῦτα - ἐφυλάξαντο, haec caverant*, könnten die Besorgnis vor der natürlichen Gefahr ihres Landes als den einzigen Grund der Unterwürfigkeit erscheinen lassen; darum korrigiert der Redner sich selbst mit *καὶ τἆλλα* (d. i. 'meine Macht'), und nimmt dann *ταῦτ' ἄρα* in *καὶ ὅτι χώρην ἄρα* wieder auf. Vgl. zu c. 13 8. — *ἄρα*: vgl. c. 35 10. — *πρὸ πολλοῦ, multo ante* (c. 138 8). — *γνωσιμαχέοντες* 'sich eines Besseren besinnend' (III 25 18). Die Gesinnung der Thessaler war erst seit wenigen Monaten umgeschlagen (c. 172 ff.); der König aber, durch

λωτον. τὸν γὰρ ποταμὸν πρῆγμα ἂν ἦν μοῦνον ἐπεῖναι σφέων ἐπὶ τὴν χώρην, χώματι ἐκ τοῦ αὐλῶνος ἐκβιβάσαντα καὶ παρατρέψαντα δι' ὧν νῦν ῥέει ῥεέθρων, ὥστε Θεσσαλίην πᾶσαν ἔξω τῶν ὀρέων ὑποβρυχέα γενέσθαι." ταῦτα δὲ ἔχοντα ἔλεγε ἐς τοὺς Ἀλεύεω παῖδας, ὅτι πρῶτοι Ἑλλήνων ἐόντες Θεσσαλοὶ ἔδοσαν ἑωυτοὺς βασιλέι, δοκέων ὁ Ξέρξης ἀπὸ παντός σφεας τοῦ ἔθνεος ἐπαγγέλλεσθαι φιλίην. εἶπας δὲ ταῦτα καὶ θεησάμενος ἀπέπλεε ἐς τὴν Θέρμην.

131 Ὁ μὲν δὴ περὶ Πιερίην διέτριβε ἡμέρας συχνάς· τὸ γὰρ δὴ ὄρος τὸ Μακεδονικὸν ἔκειρε τῆς στρατιῆς τρι-

die Ränke der Aleuaden getäuscht, meint, sie hätten sich in kluger Erwägung ihrer Lage schon lange eines Besseren besonnen.

9 f. *πρῆγμα ἂν ἦν μοῦνον, nihil negotii esset nisi ut*, 'man brauchte blofs'. Vgl. zu I 79 4. — *ἐπεῖναι, immittere*, (c. 176 24). Vgl. III 117. 'Dieser prahlende Ausspruch giebt eine ziemlich genaue Vorstellung von der physischen Geographie Thessaliens. Denn die blofse Sperrung von Tempe, mag sie durch die Arbeit eines ungeheuren Heeres oder durch ein Erdbeben bewirkt werden, würde ohne Zweifel eine Überschwemmung herbeiführen, die zuerst den östlichen und dann auch den westlichen Teil der thessalischen Ebene unter Wasser setzen würde. Es ist in der That nicht möglich die eintönige Fläche dieser weiten Ebene und die geschlossene Mauer der sie umgebenden Gebirge zu betrachten, ohne dafs der Gedanke an das einstige Vorhandensein eines solchen Sees aufsteigt, der, wie er durch die Öffnung des Tempe-thales abgeleitet wurde, ebenso durch Versperrung auch wieder hergestellt werden könne'. Hawkins bei Walpole Memoirs 522.

11. *παρ. τὰ ῥέεθρα δι' ὧν ...*: der Plural von dem einen Flufsbette wie I 186 25. II 97 6.

12. *ἔξω* = *πλήν*. — Die Form *ὑποβρυχής* nur hier, sonst *ὑποβρύχιος* (I 189 9).

13 f. *Ἀλεύεω παῖδες*: ebenso IX 58 4. Pind. P. X 5. Von ihnen zu c. 6 6. — *Θεσσαλοὶ ἐόντες*, ein Umstand, der eben den König zu seinem Irrtume verleitete.

15. *ὁ Ξέρξης*, weit ab vom Hauptsatze zum Particip gestellt, giebt diesem den Anschein eines absoluten Nominativs. Vgl. zu III 5 13.

Aufnahme der Herolde. Heimsuchung der Talthybiaden; Bulis und Sperthias (c. 131—137).

131. *Πιερίη* hiefs, nach ihren früheren Einwohnern (*Πίερες*, zu c. 112 2), die schmale Küstenlandschaft, die sich, ungefähr zwischen den Mündungen des Haliakmon und Peneios, vor die nördlichen und östlichen Ausläufer des Olympos lagert, einschliefslich des waldreichen Hügellandes am rechten Ufer des Haliakmon hinauf bis zu den kambunischen Bergen. Die bedeutendsten Städte waren Methone, Pydna und Dion. Seitdem sie zu Makedonien gehörte, ward sie meist in 'Untermakedonien' (zu c. 127 6) begriffen; weshalb hier die pierischen Berge als *ὄρος Μακεδονικόν* bezeichnet sind.

2. *τριτημορίς*: s. c. 121.

τημορίς, ἵνα ταύτῃ διεξίῃ ἁπασα ἡ στρατιὴ ἐς Περραιβούς. οἱ δὲ δὴ κήρυκες οἱ ἀποπεμφθέντες ἐς τὴν Ἑλλάδα ἐπὶ γῆς αἴτησιν ἀπίκατο οἳ μὲν κενοί, οἳ δὲ
132 φέροντες γῆν τε καὶ ὕδωρ. τῶν δὲ δόντων ταῦτα ἐγένοντο οἵδε, Θεσσαλοὶ Δόλοπες Ἐνιῆνες Περραιβοὶ Λοκροὶ Μάγνητες Μηλιέες, Ἀχαιοὶ οἱ Φθιῶται καὶ Θηβαῖοι καὶ οἱ ἄλλοι Βοιωτοὶ πλὴν Θεσπιέων τε καὶ Πλαταιέων. ἐπὶ τούτοισι οἱ Ἕλληνες ἔταμον ὅρκιον οἱ τῷ βαρβάρῳ πόλεμον ἀειράμενοι· τὸ δὲ ὅρκιον ὧδε εἶχε,

3. *ταύτῃ*, auf dem durch das Waldgebirge gebahnten Wege.

4. Bevor H. das Heer hellenisches Gebiet betreten läfst, berichtet er welchen Erfolg die zweite Sendung der Herolde (c. 32) gehabt, und bereitet sich damit einen Anlafs nicht nur zur Episode von Sperthias und Bulis (c. 133—137), sondern überhaupt die Verteidigungsanstalten auf hellenischer Seite ausführlich darzulegen (— c. 172).

5. *κενοί* ‘mit leeren Händen, unverrichteter Sache’. Il. *β* 298 *αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι.*

132. 2 ff. *Θεσσαλοί*, im engeren Sinne, die einst aus Thesprotien eingewandert (c. 176 20), das Thalbecken des Peneios besetzt und von da aus auch die übrigen kleinen Völkerschaften unter ihre Botmäfsigkeit gebracht hatten, so dafs ihr Name, in weiterem Umfange, auf die ganze Landschaft zwischen den oben c. 129 angegebenen Grenzen übertragen wurde. — *Δόλοπες*, ein alter Stamm auf beiden Seiten des südlichen Pindos sefshaft, wo sie schon Homer kennt (Il. *ι* 484 *ναῖον δ' ἐσχατιὴν Φθίης Δολόπεσσιν ἀνάσσων*). Südöstlich von ihnen, am Nordfufse des Öta (daher auch *Οἰταῖοι*) und auf beiden Seiten des oberen Spercheios (c. 198 10) wohnten die *Ἐνιῆνες* (so auch Il. *β* 749; sonst *Αἰνιᾶνες*), an die sich im Delta des Spercheios bis zu den Thermopylen die *Μηλιέες* (*Μαλιεῖς*) anschlossen (c. 198), worauf an derselben Küste ostwärts die *Λοκροί*, nordöstlich aber in der Landschaft *Φθιῶτις* oder *Ἀχαιΐη* (c. 173 5. 196 ff.), der Heimat der Hellenen und des Achilleus, die *Ἀχαιοί* folgten, ein Rest der althellenischen Bevölkerung, zur Scheidung von den peloponnesischen *οἱ Φθιῶται* zubenannt. Alle diese Stämme gehörten zur pyläischen Amphiktyonie (c. 213 8).

5. *ἐπί* ‘gegen’ (I 66 7. V 44 14).

6 ff. Entweder war dieser feierliche, von den am Isthmos versammelten Abgeordneten geschlossene (Diodor. XI 3) Vertrag nur allgemein, ohne Nennung der Namen, gegen die *μηδίζοντες* gerichtet, oder er ward erst nach dem Kampfe an den Thermopylen geschlossen. Denn bis dahin standen die Thebäer noch nicht auf persischer Seite (c. 205), und die opuntischen Lokrer harrten wenigstens bis zur Schlacht bei Artemision aus (c. 203 2. VIII 1 11. IX 31 23); die Thessaler hatten sich von vornherein gerechtfertigt (c. 172). Die bestimmte Fassung der Worte (*ὅσοι ἔδοσαν*, nicht *ὅσοι ἂν δῶσι*) weist auf einen späteren Zeitpunkt. Jedenfalls stehen die Sendung der Herolde und der Vertrag nicht in zeitlicher Folge, und das Asyndeton (*ἐπὶ τούτοισι*; vgl. zu I 72 13. VI 111 8) läfst merken dafs H. an diesem Orte beiläufig eine variierende Überlieferung über das *ὅρκιον* berichtigen will. Nach anderen nämlich hätten die Hellenen vor der Schlacht von Platää einen Eid geschworen, in dem, ohne Rücksicht auf die besondere Lage der Abtrünnigen, angelobt wurde: *τὰς δὲ (πόλεις) τὰ τοῦ βαρβάρου προελομένας ἁπάσας δεκατεύσω* (Lykurg. Leokr. 81. Diodor. XI 29. Polyb. IX 39). H. läfst diesen an der betreffenden Stelle (im 8. oder 9. Buch) unerwähnt, und Theopomp (Fr. 167) erklärt ihn für erdichtet.

ὅσοι τῷ Πέρσῃ ἔδοσαν σφέας αὐτοὺς Ἕλληνες ἐόντες μὴ ἀναγκασθέντες, καταστάντων σφι εὖ τῶν πρηγμάτων, τούτους δεκατεῦσαι τῷ ἐν Δελφοῖσι θεῷ. τὸ μὲν δὴ ὅρκιον ὧδε εἶχε τοῖσι Ἕλλησι. 10

133 *Ἐς δὲ Ἀθήνας καὶ Σπάρτην οὐκ ἀπέπεμψε Ξέρξης ἐπὶ γῆς αἴτησιν κήρυκας τῶνδε εἵνεκα· πρότερον Δαρείου πέμψαντος ἐπ' αὐτὸ τοῦτο, οἳ μὲν αὐτῶν τοὺς αἰτέοντας*

8. *καταστάντων* = *ἐὰν καταστῇ*; d. h. *ἐὰν τῷ πολέμῳ κρατήσωσι*, wie Diodor. XI 3 in seinem Bericht von diesem Beschlusse sich ausdrückt. Vgl. VI 105 11. VII 158 13. — *σφι*, den Schwörenden.

9. *δεκατεύειν*, eigentlich ‘zehnten’, den zehnten Teil (*δεκάτη*) des Vermögens, Einkommens oder Ertrages strafweise einziehen. Alexis III 475 Mein. *μόνον οὐχὶ δεκατεύουσι γὰρ Τὰς οὐσίας ἐν ταῖς πόλεσι καθήμενοι, Ὅλας δ' ἀφαιροῦνται.* Besonders häufig von dem Anteile, der von Kriegsbeute, Strafen und eingezogenen Gütern einem Tempel zufiel. Da nun dieser heilige Anteil vorzugsweise *δεκάτη* hiefs, so erhielt das Verbum auch schlechthin die Bedeutung ‘weihen’ (I 89 13; Harpokr. s. v. *δεκατεῦσαι μέντοι, φησὶ Δίδυμος, ἐλέγετο κυρίως τὸ καθιεροῦν, ἐπειδήπερ ἔθος ἦν Ἑλληνικὸν τας δεκάτας τῶν περιγιγνομένων τοῖς θεοῖς καθιεροῦν*), sowohl von Sachen als Personen (Strab. p. 257. 260. 572). Es sollten also diejenigen Hellenen, die sich freiwillig den Persern anschlössen, mit Leib und Gut dem Gotte als Eigentum verfallen. In diesem strengsten Sinne fafste auch Polybios IX 39 die Formel, die, mit Bezug auf die Thebäer als die Hauptschuldigen, sprichwörtlich wurde (Xen. Hell. VI 3 20. 5 35 *νῦν ἐλπὶς το πάλαι λεγόμενον δὴ δεκατευθῆναι Θηβαίους*). Man versprach sie dem Gotte, einmal weil man das Interesse desselben mit dem Siege verflechten und dem Besiegten jede Nachsicht im voraus abschneiden, dann auch wohl weil man sich nicht mit der Beute von Stammgenossen bereichern wollte. Zur Ausführung kam übrigens der Beschlufs nicht, weil bei den meisten das *μὴ ἀναγκασθέντες* schwer zu erweisen war, die Aleuaden aber sich durch Bestechung retteten (VI 72). Vgl. IX 106. Die bislang übliche Erklärung von *δεκατεῦσαι* läfst die Schuldigen ein Zehntel ihres Vermögens dem Gotte büfsen, oder von ihren Grundstücken zehntpflichtig werden (Boekh. Staatsh. I 444). Aber so genommen würde der Beschlufs gegen allen Brauch milde gewesen sein; wenn fremdländische Feinde in der Regel um Hab und Freiheit gestraft wurden, durften verräterische Landsleute nicht weniger erleiden, am wenigsten mit einer so viel geringeren Gefahr bedroht werden.

133. 2. *πρότερον*: s. VI 48.

ἐς τὸ βάραθρον οἵ δ' ἐς φρέαρ ἐμβαλόντες ἐκέλευον γῆν τε καὶ ὕδωρ ἐκ τούτων φέρειν παρὰ βασιλέα. τούτων μὲν εἵνεκα οὐκ ἔπεμψε Ξέρξης τοὺς αἰτήσοντας. ὅ τι δὲ τοῖσι Ἀθηναίοισι ταῦτα ποιήσασι τοὺς κήρυκας συνήνεικε ἀνεθέλητον γενέσθαι, οὐκ ἔχω εἶπαι [τι], πλὴν ὅτι σφέων ἡ χώρη καὶ ἡ πόλις ἐδηιώθη. ἀλλὰ τοῦτο οὐ **134** διὰ ταύτην τὴν αἰτίην δοκέω γενέσθαι. τοῖσι δὲ ὧν Λακεδαιμονίοισι μῆνις κατέσκηψε Ταλθυβίου τοῦ Ἀγαμέμνονος κήρυκος. ἐν γὰρ Σπάρτῃ ἐστὶ Ταλθυβίου ἱρόν, εἰσὶ δὲ καὶ ἀπόγονοι Ταλθυβίου Ταλθυβιάδαι καλεόμενοι, τοῖσι αἱ κηρυκηίαι αἱ ἐκ Σπάρτης πᾶσαι γέρας δέδονται. μετὰ δὴ ταῦτα τοῖσι Σπαρτιήτῃσι καλλιερῆσαι θυομένοισι οὐκ ἐδύνατο· τοῦτο δ' ἐπὶ χρόνον συχνὸν ἦν σφι ⟨γινόμενον⟩. ἀχθομένων δὲ καὶ συμφορῇ χρεωμένων Λακεδαιμονίων, ἁλίης τε πολλάκις συλλεγομένης καὶ

5. *τὸ βάραθρον*: Bekker. Anecd. 219 *Ἀθήνησι ἦν ὄργυιά τι ἐν Κειριαδῶν δήμῳ τῆς Οἰνηίδος φυλῆς, εἰς ὃ τοὺς ἐπὶ θανάτῳ καταγνωσθέντας ἐνέβαλλον. — οἵ μέν*, die Athener.

9. *ἀνεθέλητον*: zu c. 88 5. — Spätere wufsten auch diese Lücke zu füllen; Paus. III 12 7 *ἐν Ἀθήναις δὲ ἰδίᾳ τε καὶ ἐς ἑνὸς οἶκον ἀνδρὸς κατέσκηψε (τὸ μήνιμα), Μιλτιάδου τοῦ Κίμωνος. ἐγεγόνει δὲ καὶ τῶν κηρύκων τοῖς ἐλθοῦσιν ἐς τὴν Ἀττικὴν ὁ Μιλτιάδης ἀποθανεῖν αἴτιος ὑπὸ Ἀθηναίων.*

11. H. findet wohl in der Verbrennung des Kybeletempels in Sardis, woran die Athener beteiligt waren (V 99 ff.), den Grund ihrer Heimsuchung; wenigstens ist dies das einzige Vergehen, das sich aus seiner Erzählung sonst noch gegen sie aufbringen läfst.

134. *δὲ ὧν*, an *οὐκ ἔχω εἶπαι* anschliefsend. S. zu c. 9 *γ* 7.

2. *μῆνις*, die sich in dem Ausfall der Opfer kund that (7). — *κατέσκηψε*, hier c. dat., weil in dem Sinne von *ἐξῆλθε*, (c. 137 8). — Dafs Talthybios, der Vertreter des Gesandtenrechtes, der Zürnende sei, mochte man durch einen Spruch des in der Not befragten Orakels wissen.

3. *ἱρόν*, ein *ἡρῷον*, wie er auch im achäischen Ägä hatte (Paus. III 12 7. VII 24 1). — Die Talthybiaden, ein vordorisches Geschlecht, waren, wie die kadmeiischen Ägiden (IV 149 6), in die spartiatische Gemeinde aufgenommen worden.

5. *αἱ ἐκ Σπάρτης*, die öffentlichen Sendungen in Sachen des Staates und der Kulte. So waren sie die erblichen Staatsgesandten, ohne die gewöhnlichen und niedrigen Dienstleistungen innerhalb der Gemeinde.

6. *ταῦτα*, die Tötung der Herolde. — *καλλιερῆσαι – ἐδύνατο*: zu c. 113 10.

8. *συμφορῇ χρᾶσθαι, aegre ferre* (III 41 12). — Versagten die Opfer, so mufsten alle die öffentlichen Geschäfte, die an ihren günstigen Erfolg gebunden waren, unterbleiben.

9. *ἁλίη* 'Gemeine' (I 125 4).

κήρυγμα τοιόνδε ποιευμένων, εἴ τις βούλοιτο Λακεδαι- 10
μονίων πρὸ τῆς Σπάρτης ἀποθνήσκειν, Σπερθίης τε ὁ Ἀνηρίστου καὶ Βοῦλις ὁ Νικόλεω, ἄνδρες Σπαρτιῆται φύσι τε γεγονότες εὖ καὶ χρήμασι ἀνήκοντες ἐς τὰ πρῶτα, ἐθελονταὶ ὑπέδυσαν ποινὴν τεῖσαι Ξέρξῃ τῶν Δαρείου κηρύκων τῶν ἐν Σπάρτῃ ἀπολομένων. οὕτω 15
Σπαρτιῆται τούτους ὡς ἀποθανευμένους ἐς Μήδους ἀπέπεμψαν. αὕτη τε ἡ τόλμα τούτων τῶν ἀνδρῶν **135**
θώματος ἀξίη καὶ τάδε πρὸς τούτοισι τὰ ἔπεα. πορευόμενοι γὰρ ἐς Σοῦσα ἀπικνέονται παρὰ Ὑδάρνεα· ὁ δὲ Ὑδάρνης ἦν μὲν γένος Πέρσης, στρατηγὸς δὲ τῶν παραθαλασσίων ἀνθρώπων τῶν ἐν τῇ Ἀσίῃ· ὃς 5
σφεας ξείνια προθέμενος ἱστία, ξεινίζων δὲ εἴρετο τάδε. „ἄνδρες Λακεδαιμόνιοι, τί δὴ φεύγετε βασιλέι φίλοι γενέσθαι; ὁρᾶτε [γὰρ] ὡς ἐπίσταται βασιλεὺς ἄνδρας ἀγαθοὺς τιμᾶν, ἐς ἐμέ τε καὶ τὰ ἐμὰ πρήγματα ἀποβλέποντες. οὕτω δὲ καὶ ὑμεῖς εἰ δοίητε ὑμέας αὐτοὺς βα- 10
σιλέι, δεδόξωσθε γὰρ πρὸς αὐτοῦ ἄνδρες εἶναι ἀγαθοί, ἕκαστος ἂν ὑμέων ἄρχοι γῆς Ἑλλάδος δόντος βασιλέος.“ πρὸς ταῦτα ὑπεκρίναντο τάδε. „Ὑδαρνες, οὐκ ἐξ ἴσου γίνεται ἡ συμβουλίη ἡ ἐς ἡμέας τεινουσα. τοῦ μὲν γὰρ

11. *Σπερθίης*, bei anderen in dialektischer Nebenform *Σπέρχις*, mit vertauschter Aspirata, wie *ὄρνιχος* dor. = *ὄρνιθος*, und Verkürzung wie in *Ἀυσίας Λῦσις, Τελλίας Τέλλις, Νικίας Νῖκις, Σωσίας Σῶσις* u. a. Nach Theokr. XV 98 (von einer Sängerin *ἅτις καὶ Σπέρχιν τὸν λάλεμον ἀρίστευσε*) scheint der Abschied der beiden von der Heimat Gegenstand eines beliebten Liedes geworden zu sein.

13. *φύσι* = *γένεϊ* (III 68 4). — *γεγονότες εὖ*, wie III 69 4. — *ἀνήκοντες*, wie c. 13 7. Sie zur Familie der Talthybiaden selber zu rechnen ist kein Grund.

14. *τεῖσαι*: der Aorist steht in ähnlicher Weise nach einem *verbum promittendi*, statt des sonst üblichen Futur, auch I 24 17. V 106 31. VI 2 5. VII 215 2. Vgl. zu c. 220 13.

16. *Μήδους*, populär st. *Πέρσας*.

135. 4 f. Vgl. zu V 25 4.

8. *ὁρᾶτε*: zu c. 10 *γ* 1. *ἄνδρας ἀγαθούς*: der Sprecher war ein Sohn des zu den 'Sieben' gehörigen Hydarnes. S. über ihn zu VI 133 7.

10. *ὑμεῖς*, die Spartiaten überhaupt, nicht blofs die beiden; daher 12 *ἕκαστος ὑμέων*.

13 f. *οὐκ ἐξ ἴσου γίνεται*: der Rat, der eigentlich ein doppelter ist, nämlich die bisherige Freiheit aufzugeben und die Herrschaft des Königs anzunehmen, ist 'ungleich, einseitig', insofern der Ratgeber nur über die Herrschaft seines Königs ein zureichendes Urteil hat, nicht über die spartiatische Freiheit.

πεπειρημένος συμβουλεύεις, τοῦ δὲ ἄπειρος ἐών· τὸ μὲν γὰρ δοῦλος εἶναι ἐξεπίστεαι, ἐλευθερίης δὲ οὔκω ἐπειρήθης, οὔτ' εἰ ἔστι γλυκὺ οὔτ' εἰ μή. εἰ γὰρ αὐτῆς πειρήσαιο, οὐκ ἂν δόρασι συμβουλεύοις ἡμῖν περὶ αὐτῆς
136 μάχεσθαι, ἀλλὰ καὶ πελέκεσι." ταῦτα μὲν Ὑδάρνεα ἀμείψαντο. ἐνθεῦτεν δὲ ὡς ἀνέβησαν ἐς Σοῦσα καὶ βασιλέι ἐς ὄψιν ἦλθον, πρῶτα μὲν τῶν δορυφόρων κελευόντων καὶ ἀνάγκην σφι προσφερόντων προσκυνέειν βασιλέα προσπίπτοντας, οὐκ ἔφασαν ὠθεόμενοι ὑπ' αὐτῶν ἐπὶ κεφαλὴν ποιήσειν ταῦτα οὐδαμά· οὔτε γὰρ σφίσι ἐν νόμῳ εἶναι ἄνθρωπον προσκυνέειν οὔτε κατὰ ταῦτα ἥκειν. ὡς δὲ ἀπεμαχέσαντο τοῦτο, δεύτερά σφι λέγουσι τάδε καὶ λόγου τοιοῦδε ἐχόμενα „ὦ βασιλεῦ Μήδων, ἔπεμψαν ἡμέας Λακεδαιμόνιοι ἀντὶ τῶν ἐν Σπάρτῃ ἀπολομένων κηρύκων ποινὴν ἐκείνων τείσοντας", λέγουσι δὲ αὐτοῖσι ταῦτα Ξέρξης ὑπὸ μεγαλοφροσύνης οὐκ ἔφη ὅμοιος ἔσεσθαι Λακεδαιμονίοισι· κείνους μὲν γὰρ συγχέαι τὰ πάντων ἀνθρώπων νόμιμα ἀποκτείναντας κήρυκας, αὐτὸς δὲ τὰ ἐκείνοισι ἐπιπλήσσει ταῦτα οὐ ποιήσειν, οὐδὲ ἀνταποκτείνας ἐκείνους ἀπολύσειν
137 Λακεδαιμονίους τῆς αἰτίης. οὕτω ἡ Ταλθυβίου μῆνις καὶ ταῦτα ποιησάντων Σπαρτιητέων ἐπαύσατο τὸ παραυτίκα, καίπερ ἀπονοστησάντων ἐς Σπάρτην Σπερθίεώ τε καὶ Βούλιος. χρόνῳ δὲ μετέπειτα πολλῷ ἐπηγέρθη

17. Demokrit bei Stobäos Flor. XLIII 41 *ἡ ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖσι δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτο ἐστὶ αἱρετωτέρη ὁκόσον ἐλευθερίη δουλείης.*

136. Vom doppelten Akkusativ bei *ἀμείψαντο* s. zu II 173 21.

5 f. *ὠθεόμενοι* (= *εἰ ὠθέοιντο*) *ἐπὶ κεφαλήν, si proni volverentur in caput.* S. zu II 35 21. Valckenaer wünschte *οὐδ' ὠθεόμενοι.*

7. *κατά* 'zu, wegen'. Vgl. zu IV 48 4.

9. *λόγου τοιοῦδε ἐχόμενα* 'mit einer derartigen Rede Zusammenhängendes', d. i. 'was sonst noch dazu gehörte'. Über die Ausdrucksweise s. zu I 120 17.

12. In *λέγουσι δὲ αὐτοῖσι* erneuert sich *σφι λέγουσι* (9). Vgl. III 34 5. VII 141 11. — *μεγαλοφροσύνης*: andere Züge 'grofser Gesinnung' s. c. 27 ff. 146 f.

15. Vgl. III 142 12.

137. *οὕτω – καὶ ταῦτα ποιησάντων*: vgl. c. 164 *τοῦτον – καὶ τοιούτῳ τρόπῳ ἀπικόμενον*, 230 *οὕτω – καὶ διὰ πρόφασιν τοιήνδε.*

4. *ἐπηγέρθη*, medial.

κατὰ τὸν Πελοποννησίων καὶ Ἀθηναίων πόλεμον, ὡς λέγουσι Λακεδαιμόνιοι. τοῦτό μοι ἐν τοῖσι θειότατον φαίνεται γενέσθαι. ὅτι μὲν γὰρ κατέσκηψε ἐς ἀγγέλους ἡ Ταλθυβίου μῆνις οὐδὲ ἐπαύσατο πρὶν ἢ ἐξῆλθε, τὸ δίκαιον οὕτω ἔφερε· τὸ δὲ συμπεσεῖν ἐς τοὺς παῖδας τῶν ἀνδρῶν τούτων τῶν ἀναβάντων πρὸς βασιλέα διὰ τὴν μῆνιν, ἐς Νικόλαν τε τὸν Βούλιος καὶ ἐς Ἀνήριστον τὸν Σπερθίεω, ὃς εἶλε Ἁλιέας τοὺς ἐκ Τίρυνθος ὁλκάδι καταπλώσας πλήρεϊ ἀνδρῶν, δῆλον ὧν μοι ὅτι θεῖον ἐγένετο τὸ πρῆγμα [ἐκ τῆς μήνιος]· οἳ [γὰρ] πεμ-

6. *τοῦτο*, mit Asyndeton, weil die Anmerkung parenthetischer Art ist; s. zu VI 111 8. — *ἐν τοῖς* weitaus'. — *θειότατον*: alles übernatürliche und wunderbare ist ein *θεῖον*; s. zu I 174 18. Worüber sich der Vf. wundert, ist nicht sofort klar; denn die blofse *ἐπέγερσις τῆς μήνιος* ist es nicht, wie er gleich selber bemerkt. Sein Staunen betrifft die mit dieser *ἐπέγερσις* verknüpften näheren Umstände, die er gleichsam monologisch mit sich selbst überlegt, ohne sie noch angegeben zu haben, so dafs die nächsten Sätze unverständliche Bezüge enthalten, und z. B. der von *ἐς ἀγγέλους* beim ersten Lesen geradezu unfindbar ist, da ja Sperthias und Bulis weder *ἄγγελοι* waren noch von der *μῆνις* erreicht wurden. Erst nachträglich, wie auf Umwegen, folgt die Aufklärung. Vielleicht dafs Her. diesen 'Auslauf', wie manche Notiz der Art (vgl. zu c. 20 3) zunächst nur zu seinem eigenen Gebrauche an den Rand geschrieben und die entsprechende Fassung einer späteren Bearbeitung vorbehalten hatte.

7. *ἐς ἀγγέλους*: denn eben an *ἄγγελοι* hatten sich die Spartiaten vergriffen.

8. *οὐδὲ ἐπαύσατο*: das frühere Aufhören (2) war nur ein zeitweiliges und scheinbares gewesen. — *ἐξῆλθε* 'sich erfüllte', durch den Tod des Nikolaos und Aneristos.

9. *τὸ δίκαιον οὕτω ἔφερε*: dieselbe Wendung V 58 11. — *συμπεσεῖν* (*τὴν μῆνιν*), congruisse, variiert für *κατασκῆψαι;* daher mit *ἐς*. Sonst c. dat.

12. Der an sich überflüssige notizenartige Zusatz *ὃς — ἀνδρῶν* macht den Mann an der zu jener Zeit wohl vielbesprochenen Kriegsthat näher kenntlich. *Ἁλιέες* (*Ἁλιεῖς*, auch *Ἅλιαι Ἀλία Ἁλιαί*), kleine Seestadt an der südlichsten Spitze der argolischen Akte, im Gebiete von Hermione, gegenüber der heutigen Insel Spetzia, von Einwohnern des von Argos (wahrscheinlich im Jahre 468, s. zu VI 83 10) zerstörten Tiryns besetzt (daher *τοὺς ἐκ Τίρυνθος*; Steph. B. s. v. Strab. p. 373). Aneristos scheint mit einem Kauffahrer (*ὁλκάς*) die Einfahrt in den Hafen (*καταπλώσας*) erschlichen und so den Ort den Argeiern entrissen zu haben, und zwar in den Fehden 463—445, da Argos mit Athen im Bunde stand (Thuk. I 102). — *ὤν* wegen der Unterbrechung.

14. *θεῖον* gehört zu *ἐγένετο* mit dem Werte eines adverbialen Ausdrucks, 'durch wundersame Fügung', = *θείῃ τύχῃ* (III 139 14). Ähnlich VI 69 13. — *τὸ πρῆγμα*, welches den Infinitivsatz *τὸ δὲ συμπεσεῖν ...*,

φθέντες ὑπὸ Λακεδαιμονίων ἄγγελοι ἐς τὴν Ἀσίην, προδοθέντες δὲ ὑπὸ Σιτάλκεω τοῦ Τήρεω Θρηίκων βασιλέος καὶ Νυμφοδώρου τοῦ Πύθεω ἀνδρὸς Ἀβδηρίτεω, ἥλωσαν κατὰ Βισάνθην τὴν ἐν Ἑλλησπόντῳ, καὶ ἀπαχθέντες ἐς τὴν Ἀττικὴν ἀπέθανον ὑπὸ Ἀθηναίων, μετὰ δὲ αὐτῶν καὶ Ἀριστέας ὁ Ἀδειμάντου Κορίνθιος ἀνήρ. ταῦτα μέν νυν πολλοῖσι ἔτεσι ὕστερον ἐγένετο τοῦ βασιλέος στόλου, ἐπάνειμι δὲ ἐπὶ τὸν πρότερον λόγον.

138 Ἡ δὲ στρατηλασίη ἡ βασιλέος οὔνομα μὲν εἶχε ὡς

der bisher Subjekt war, der Parenthese wegen vertritt, erzeugt eine leichte Anakoluthie.

15 ff. Ausführlicher und genauer Thuk. II 67. Im Spätsommer 430 wurden Aneristos, Nikolaos und Stratodemos aus Lakedämon, Aristeus aus Korinth, Timagoras aus Tegea, denen sich der Argeier Pollis als Privatmann anschlofs, zum Grofskönig gesandt, um Subsidien und sonstigen Beistand gegen Athen zu erwirken. Da der Weg durch Ionien gesperrt war, reisten sie durch Thrakien, wo sie den Bundesgenossen der Athener, den König Sitalkes (zu IV 80 9) zu gewinnen und zum Entsatz des belagerten Poteidäa zu bewegen suchten; aber ohne Erfolg. Doch erlangten sie sicheres Geleit bis ans Meer und waren eben im Begriff nach Asien überzusetzen, wo ihrer der Satrap von Daskyleion wartete, als sie auf Befehl des Sadokos, eines Sohnes des Sitalkes und athenischen Ehrenbürgers, ergriffen und an zwei athenische Agenten, die den Verrat betrieben hatten, ausgeliefert wurden. Die Athener liefsen sie, teils um sich des gefürchteten Aristeus zu entledigen, teils auch weil die Spartaner gefangene Kaufleute hatten töten lassen, ohne weiteres hinrichten.

17. Nymphodoros war der Schwager des Sitalkes und von grofsem Einflusse in Thrakien und Makedonien. Athen machte ihn darum zu seinem Proxenos. Er verschaffte dem Sadokos das athenische Bürgerrecht und gewann Sitalkes sowie Perdikkas von Makedonien für das Bündnis mit Athen (Thuk. II 29).

18. *Βισάνθη*, später *Ῥαιδεστόν*, jetzt Rodosto, an der Propontis. — *ἐν Ἑλλησπόντῳ*, hier in weiterem Sinne, der auch die Propontis umfafst; s. zu IV 38 6.

20. *Ἀριστέας*, bei Thuk. *Ἀριστεύς*. Er hatte vorher dem aufständischen Poteidäa ansehnliche Hilfe aus Korinth und dem übrigen Peloponnes, wo er sich grofser Popularität erfreute, zugeführt, und sich durch sein tapferes und umsichtiges Benehmen als einen der gefährlichsten Feinde Athens bewiesen.

Athens Verdienst um Hellas. Zwei Orakelsprüche; die hölzerne Mauer. Themistokles und der Flottenbau (c. 138—144).

138. *δέ*, nach *ἐπάνειμι δέ*, wie I 141 1. — *οὔνομα εἶχε* ‘es hiefs von ihr’. Plat. Apol. 34 *οὔνομα ἔξετε καὶ αἰτίαν ὡς Σωκράτη ἀπεκτόνατε*. Dabei spielt *οὔνομα* hier über in den Begriff von *πρόφασις* (V 33 3), *πρόσχημα* (IV 167 12. VII 157 9), *λόγος* (V 20 24), in Ggs. zu *ἔργον*, ‘das Ziel des Heereszuges war angeblich Athen’. Polyb. XI 5 *Φίλιππος ὄνομα γίγνεται καὶ πρόσχημα τοῦ πολέμου.*

ἐπ᾽ Ἀθήνας ἐλαύνει, κατίετο δὲ ἐς πᾶσαν τὴν Ἑλλάδα. πυνθανόμενοι δὲ ταῦτα πρὸ πολλοῦ οἱ Ἕλληνες οὐκ ἐν ὁμοίῳ πάντες ἐποιεῦντο. οἳ μὲν γὰρ αὐτῶν δόντες γῆν καὶ ὕδωρ τῷ Πέρσῃ εἶχον θάρσος ὡς οὐδὲν πεισόμενοι ἄχαρι πρὸς τοῦ βαρβάρου· οἳ δὲ οὐ δόντες ἐν δείματι μεγάλῳ κατέστασαν, ἅτε οὔτε νεῶν ἐουσέων ἐν τῇ Ἑλλάδι ἀριθμὸν ἀξιομάχων δέκεσθαι τὸν ἐπιόντα, οὔτε βουλομένων τῶν πολλῶν ἀντάπτεσθαι τοῦ πολέμου, μηδιζόντων δὲ προθύμως. ἐνθαῦτα ἀναγκαίη ἐξέρ- **139** γομαι γνώμην ἀποδέξασθαι ἐπίφθονον μὲν πρὸς τῶν πλεόνων ἀνθρώπων, ὅμως δὲ τῇ γέ μοι φαίνεται εἶναι ἀληθὲς οὐκ ἐπισχήσω. εἰ Ἀθηναῖοι καταρρωδήσαντες τὸν ἐπιόντα κίνδυνον ἐξέλιπον τὴν σφετέρην, ἢ καὶ μὴ ἐκλιπόντες ἀλλὰ μείναντες ἔδοσαν σφέας αὐτοὺς Ξέρξῃ, κατά ⟨γε⟩ τὴν θάλασσαν οὐδαμοὶ ἂν ἐπειρῶντο ἀντιούμενοι βασιλέι. εἰ τοίνυν κατὰ τὴν θάλασσαν μηδεὶς ἠντιοῦτο Ξέρξῃ, κατά γε ἂν τὴν ἤπειρον τοιάδε ἐγίνετο· εἰ καὶ πολλοὶ τειχέων κιθῶνες ἦσαν ἐληλαμένοι διὰ τοῦ

2. *ἐλαύνει*, als wäre *στρατός* das Subjekt. Vgl. VIII 140 *α* 14. — *κατίετο*, verstärktes *κατεπέμπετο, κατέβαινε*, wobei *κατα-* wie V 106 32.

4. *ἐν ὁμοίῳ ἐποιεῦντο, pariter accipiebant.* Vgl. zu I 118 9.

8. *τὸν ἐπιόντα* ‘den Angreifer, Feind’ (c. 139 30. 157 6. 177 4. 203 9 u. 13).

9. *τῶν πολλῶν*, die Masse des Volkes.

139. *ἐξέργομαι*: zu c. 96 6.

2. *ἐπίφθονον*: der Vf. schrieb dies nicht lange vor oder in den ersten Jahren des peloponnesischen Krieges. Alle Vorwürfe, die der Neid nicht minder als die Furcht und die Rachlust gegen Athen aufzubringen vermochten, und ebenso alles was sich von athenischer Seite dagegen zur Abwehr und zum Selbstlob, besonders unter Hinweis auf die Perserkriege, einwenden liefs, findet sich in den Reden des korintischen und des athenischen Redners in der Versammlung zu Sparta (432) vereinigt (Thuk. I 68 ff.). Vgl. zu VIII 144 23.

4. *οὐκ ἐπισχήσω* ‘ich werde nicht an mich halten’, nämlich mich auszusprechen. Vgl. I 32 40.

5. *ἐξέλιπον*: zu c. 143 17.

10. *καὶ πολλοί, quamvis multi.* — *τειχέων κιθῶνες*, ein poetischer, vielleicht aus einem Orakelverse, der diesen Bau empfahl, entnommener Ausdruck. Vgl. c. 223 10 *τὸ ἕρυμα τοῦ τείχεος*. Die Mauer schützt das Land vor Einfällen, wie der Rock den Leib gegen aufsen abschliefst und deckt. Xen. Symp. IV 38 *ἐπειδάν γε μὴν ἐν τῇ οἰκίᾳ γένωμαι, πάνυ μὲν ἀλεεινοὶ χιτῶνες οἱ τοῖχοί μοι δοκοῦσιν εἶναι, πάνυ δὲ παχεῖαι ἐφεστρίδες οἱ ὄροφοι.* Vgl. auch das homerische *λάινος χιτών* ‘Steingrab’, und zu I 181 1. Zur Sache s. VIII 40. IX 7. 10.

Ἰσθμοῦ Πελοποννησίοισι, προδοθέντες ἂν Λακεδαιμόνιοι ὑπὸ τῶν συμμάχων οὐκ ἑκόντων ἀλλ' ὑπ' ἀναγκαίης, κατὰ πόλις ἁλισκομένων ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ τοῦ βαρβάρου, ἐμουνώθησαν, μουνωθέντες δὲ ἂν καὶ ἀποδεξάμενοι ἔργα μεγάλα ἀπέθανον γενναίως. ἢ ταῦτα ἂν ἔπαθον, ἢ πρὸ τοῦ ὁρῶντες ἂν καὶ τοὺς ἄλλους Ἕλληνας μηδίζοντας ὁμολογίῃ ἂν ἐχρήσαντο πρὸς Ξέρξην. καὶ οὕτω ἂν ἐπ' ἀμφότερα ἡ Ἑλλὰς ἐγίνετο ὑπὸ Πέρσῃσι. τὴν γὰρ ὠφελίην τὴν τῶν τειχέων τῶν διὰ τοῦ Ἰσθμοῦ ἐληλαμένων οὐ δύναμαι πυθέσθαι ἥτις ἂν ἦν, βασιλέος ἐπικρατέοντος τῆς θαλάσσης. νῦν δὲ Ἀθηναίους ἄν τις λέγων σωτῆρας γενέσθαι τῆς Ἑλλάδος οὐκ ἂν ἁμαρτάνοι τὸ ἀληθές. οὗτοι γὰρ ἐπὶ δκότερα τῶν πρηγμάτων ἐτράποντο, ταῦτα ῥέψειν ἔμελλε· ἑλόμενοι δὲ τὴν Ἑλλάδα περιεῖναι ἐλευθέρην, οὕτω τὸ Ἑλληνικὸν πᾶν τὸ λοιπόν, ὅσον μὴ ἐμήδισε, αὐτοὶ οὗτοι ἦσαν οἱ ἐπεγείραντες καὶ βασιλέα μετά γε θεοὺς ἀνωσάμενοι. οὐδὲ σφέας χρηστήρια φοβερὰ ἐλθόντα ἐκ Δελφῶν καὶ ἐς δεῖμα βαλόντα ἔπεισε ἐκλιπεῖν τὴν Ἑλλάδα, ἀλλὰ καταμείναντες ἀνέσχοντο τὸν ἐπιόντα ἐπὶ τὴν χώρην δέξασθαι.

140 Πέμψαντες γὰρ οἱ Ἀθηναῖοι ἐς Δελφοὺς θεοπρόπους χρηστηριάζεσθαι ἦσαν ἕτοιμοι· καὶ σφι ποιήσασι περὶ τὸ ἱρὸν τὰ νομιζόμενα, ὡς ἐς τὸ μέγαρον ἐσελθόντες ἵζοντο, χρᾷ ἡ Πυθίη, τῇ οὔνομα ἦν Ἀριστονίκη, τάδε.

ὦ μέλεοι, τί κάθησθε; λιπὼν φύγ' ἐς ἔσχατα γαίης
δώματα καὶ πόλιος τροχοειδέος ἄκρα κάρηνα.
οὔτε γὰρ ἡ κεφαλὴ μένει ἔμπεδον οὔτε τὸ σῶμα,
οὔτε πόδες νέατοι οὔτ' ὤν χέρες, οὔτε τι μέσσης
λείπεται, ἀλλ' ἄζηλα πέλει· κατὰ γάρ μιν ἐρείπει
πῦρ τε καὶ ὀξὺς Ἄρης, Συριηγενὲς ἅρμα διώκων.
πολλὰ δὲ κἄλλ' ἀπολεῖ πυργώματα κοὐ τὸ σὸν οἶον,
πολλοὺς δ' ἀθανάτων νηοὺς μαλερῷ πυρὶ δώσει,
οἵ που νῦν ἱδρῶτι ῥεούμενοι ἑστήκασι,

11. *προδοθέντες* 'im Stich gelassen' (VIII 94 12. IX 7 *β* 8).

13. Thuk. I 73 *ὅπερ* (der Entschluſs der Athener) *ἔσχε μὴ κατὰ πόλεις (τὸν βάρβαρον) ἐπιπλέοντα τὴν Πελοπόννησον πορθεῖν, ἀδυνάτων ἂν ὄντων προς ναῦς πολλὰς ἀλλήλοις ἐπιβοηθεῖν.*

14. *ἐμουνώθησαν*, sc. *συμμάχων*.

15. *καί*, *quamvis*.

18. *ἐπ' ἀμφότερα*, nämlich *καὶ κατὰ τὴν θάλασσαν καὶ κατὰ τὴν ἤπειρον*. Vgl. c. 10 *β* 4.

23. *ἁμαρτάνοι τὸ ἀληθές*: zu dieser seltenen Konstruktion vgl. auſser manchem andern (zu I 59 13) besonders c. 163 7.

26. *μή*: vgl. c. 125 8.

30. *ἀνέσχοντο* = *ἔτλησαν*, *sustinuerunt*, *ausi sunt*, eine sehr seltene Bedeutung.

140. *πέμψαντες*, um 482, wie aus c. 145 zu entnehmen.

2. *ἦσαν ἕτοιμοι*, natürlich die *θεοπρόποι* selbst.

3. *τὸ ἱρόν*, hier weder der Tempel noch auch die davor stehenden Altäre (II 135 18. IX 81 5) allein, sondern der heilige Bezirk mit all seinem Inhalte (VI 19 5). Innerhalb (*περί*, vgl. zu V 16 2) dieses Raumes vollzogen die Frager die üblichen vorbereitenden Opfer, Reinigungen und sonstigen Bräuche (*τὰ νομιζόμενα*, vgl. zu I 49 4) und warteten dann, falls sie nicht das Vorrecht der *προμαντηίη* (I 54 6) hatten, bis die durchs Los bestimmte Reihe sie in den Tempel selber und in dessen heilige Kammer (*μέγαρον* oder *ἄδυτον*) führte, in deren dunkelem höhlenartigem Hintergrunde der Dreifuſs stand.

5. Die Anrede gilt zunächst den *θεοπρόποι*, wendet sich aber gleich mit dem singularen *φύγε* an das in ihnen vertretene Volk, um mit dem letzten Verse (16) zu jenen zurückzukehren. — Das sprachliche Material dieses wie aller hexametrischen Orakel ist durchgängig dem alten Epos entlehnt. So erinnert *λιπὼν φύγ'* an Hesiod. Fr. 82 Göttl. *οἶκον ἀποπρολιπὼν φεῦγ' Ἄργος ἱπποβότοιο*. — Verb. *λιπὼν δώματα*. — *ἔσχατα γαίης*: Hesiod. Theog. 731. Die italische Küste scheint gemeint (VIII 62 7).

6. *τροχοειδέος*: die alte Ringmauer mag fast kreisförmig gewesen sein. Selbst nach dem erweiterten Anbau unter Themistokles behielt die Stadt noch einen dem Kreise sich nähernden Umfang, und *κύκλος* war die gewöhnliche Bezeichnung dieser Mauer (I 98 22). — *ἄκρα κάρηνα*: Il. *β* 117 *πολίων κατέλυσε κάρηνα*, 869 *Μυκάλης τ' αἰπεινὰ κάρηνα*.

7. *μένει ἔμπεδον*: Il. *ρ* 434 *στήλη μένει ἔμπεδον*.

8. *νέατοι*, nach Il. *β* 824 *ὑπαὶ πόδα νείατον Ἴδης*, aber hier adverbial, = hom. *ὑπένερθεν* (Il. *ρ* 386 *γούνατά τε κνῆμαί τε πόδες θ' ὑπένερθεν ἑκάστου*). — *ὤν*, an dieser Stelle ein bloſses Füllwort. — *μέσσης*, nämlich *πόλιος*, nach *τὸ σῶμα* überflüssig.

9. *ἄζηλα* = *ἄδηλα*. Da diese Form sonst nicht vorkommt, so hat man *ἀΐδηλα* bessern wollen. Dem Abfasser der Orakelverse aber ist die Neuerung schon zuzutrauen (vgl. unten 13. 141 16 und zu c. 220 17), indem er aus dem bekannten Worte *ἀρίζηλος* (Hesiod. *ἔργ.* 6 *ὀΐω δ' ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει*) *ζῆλος* als altertümliche Nebenform von *δῆλος* entnahm. — *μιν*, *τὴν πόλιν*.

10. *ὀξὺς Ἄρης*, oft bei Homer. — Aeschyl. Pers. 81 ff. hatte diesen Vers vor Augen: *κνάνεον δ' ὄμμασι λεύσσων (Ξέρξης) Φονίου δέργμα δράκοντος, Πολύχειρ καὶ πολυναύτης Σύριόν θ' ἅρμα διώκων, Ἐπάγει δουρικλύτοις ἀνδράσι τοξόδαμνον Ἄρην*. — *διώκων* = *ἐλαύνων*.

13. *οἵ*, auf *νηούς* bezogen. — *ῥεούμενοι* st. *ῥεόμενοι*, mit *μαχεούμενοι* zu vergleichen, oder besser, nach der La. *ῥεύμενοι*,

δείματι παλλόμενοι, κατὰ δ᾽ ἀκροτάτοις ὀρόφοισι
αἷμα μέλαν κέχυται, προϊδὸν κακότητος ἀνάγκας.
ἀλλ᾽ ἴτον ἐξ ἀδύτοιο, κακοῖς δ᾽ ἐπικίδνατε θυμόν.
141 ταῦτα ἀκούσαντες οἱ τῶν Ἀθηναίων θεοπρόποι συμφορῇ τῇ μεγίστῃ ἐχρέωντο. προβάλλουσι δὲ σφέας αὐτοὺς ὑπὸ τοῦ κακοῦ τοῦ κεχρησμένου Τίμων ὁ Ἀνδροβούλου, τῶν Δελφῶν ἀνὴρ δόκιμος ὅμοια τῷ μάλιστα, συνεβούλευέ σφι ἱκετηρίην λαβοῦσι δεύτερα αὖτις ἐλθόντας χρᾶσθαι τῷ χρηστηρίῳ ὡς ἱκέτας. πειθομένοισι δὲ ταῦτα τοῖσι Ἀθηναίοισι καὶ λέγουσι „ὦναξ, χρῆσον ἡμῖν ἄμεινόν τι περὶ τῆς πατρίδος, αἰδεσθεὶς τὰς ἱκετηρίας τάσδε τάς τοι ἥκομεν φέροντες, ἢ οὔ τοι ἀπι-

auf ῥεόμαι zurückzubringen. — Sonstige Beispiele zeigen dafs dies nicht etwa ein phantastischer Ausdruck, sondern eine geglaubte Thatsache war, nur dafs hier mit plumper Hyperbel auf die Tempel angewendet ist, was man sonst nur den Götterbildern beilegte. Apollon. Arg. IV 1285 ἢ ὅτ᾽ ἂν αὐτόματα ξόανα ῥέῃ ἱδρώοντα Αἵματι, wo der Schol. ὅταν μέλλῃ τι συμβαίνειν χαλεπόν, εἴωθε τὰ ἀγάλματα ἱδροῦν, ὥσπερ καὶ ἐν Θήβαις ὅτε συνίστατο ὁ περὶ Χαιρώνειαν πόλεμος Φιλίππῳ πρὸς Θηβαίους. Diod. XVII 10 ὑπ᾽ αὐτὴν δὲ τὴν ἔφοδον τοῦ βασιλέως (Ἀλεξάνδρου) οἱ κατὰ τὴν ἀγορὰν (in Theben) ἀνδριάντες ἐφάνησαν ἱδρῶτας ἀφιέντες καὶ μεστοὶ σταλαγμῶν μεγάλων. Cic. divin. II 58 *sanguinem pluisse senatui nuntiatum est, Atratum etiam fluvium fluxisse sanguine, deorum sudasse simulacra.* Vgl. auch VI 82 11.

14. δείματι παλλόμενοι: Hymn. Demet. 293. — ὀρόφοισι: der Dativ (st. Genitiv) wie Il. γ 10 εὖτ᾽ ὄρεος κορυφῇσι νότος κατέχευεν ὀμίχλην, ν 282 κὰδ᾽ δ᾽ ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσιν.

15. προϊδόν, seltsam für προφαῖνον. — κακότητος ἀνάγκας ‘unvermeidliches Unglück’.

16. ἴτον: es waren also zwei θεοπρόποι. — ἐπικίδνατε, ‘ergiefset die Seele in Leiden’, oder was auf dasselbe hinauskommt, ‘übergiefset die Seele mit Leiden’, *imbuite, perfundite animum malis.* Nach jener Auffassung ist die Seele als Strom gedacht, der sich über den Gegenstand der Empfindung verbreitet (vgl. Lucret. II 315 *derivare queunt animum curaque levare*), während nach der anderen der Strom der Leiden sich über die Seele als sein zugehöriges Gebiet ergiefsen soll. Der Gedanke aber soll sein: ‘macht euch mit eurem Unglück vertraut’. Daher denn auch die Gesandten

141. συμφορῇ τῇ μεγίστῃ ἐχρέωντο ‘aufs tiefste betrübt waren’ (III 41 12). — προβάλλουσι σφέας αὐτούς ‘da sie an ihrer Rettung verzweifelten’, *res suas desperantibus.* Cic. Tusc. II 54 *qui doloris speciem ferre non possunt, abiciunt se atque ita adflicti et exanimati iacent.*

4. ὅμοια, adverbial (III 8 2). — Von dem Einflusse angesehener Delpher auf das Orakel ein anderes Beispiel VI 66.

5. δεύτερα αὖτις, homerisch. Noch IV 76 3.

6. ἱκέτας, näml. τοῦ θεοῦ.

μεν ἐκ τοῦ ἀδύτου, ἀλλ᾽ αὐτοῦ τῇδε μένομεν ἕστ᾽ ἂν καὶ τελευτήσωμεν“, ταῦτα δὲ λέγουσι ἡ πρόμαντις χρᾷ δεύτερα τάδε.

οὐ δύναται Παλλὰς Δί᾽ Ὀλύμπιον ἐξιλάσασθαι
λισσομένη πολλοῖσι λόγοις καὶ μήτιδι πυκνῇ.
σοὶ δὲ τόδ᾽ αὖτις ἔπος ἐρέω ἀδάμαντι πελάσσας.
τῶν ἄλλων γὰρ ἁλισκομένων ὅσα Κέκροπος οὖρος
ἐντὸς ἔχει κευθμών τε Κιθαιρῶνος ζαθέοιο,
τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς
μοῦνον ἀπόρθητον τελέθειν, τὸ σὲ τέκνα τ᾽ ὀνήσει.
μηδὲ σύ γ᾽ ἱππόσυνην τε μένειν καὶ πεζὸν ἰόντα
πολλὸν ἀπ᾽ ἠπείρου στρατὸν ἥσυχος, ἀλλ᾽ ὑποχωρεῖν
νῶτον ἐπιστρέψας· ἔτι τοί ποτε κἀντίος ἔσσῃ.
ὦ θεῖη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν
ἤ που σκιδναμένης Δημήτερος ἢ συνιούσης.
ταῦτά σφι ἠπιώτερα γὰρ τῶν προτέρων καὶ ἦν καὶ ἐδό- **142**

10. μένομεν: zum Präsens III 85 14.

11. δέ: zu c. 136 12. — πρόμαντις: zu c. 111 8.

13. Παλλάς, die πολιοῦχος Athens.

15. πελάσσας, soviel als ἄρσας, δήσας, und ἀδάμαντι πελάσσας vertritt die Stelle eines Adjektivs, = ἀδαμαντόδετον ‘stahlfest, unverbrüchlich’. Hesiod. ἔργ. 431 (γύην) γόμφοισι πελάσσας. Il. ε 766 κακῇς ὀδύνῃσι πελάζειν, Pind. O. I 78 κράτει δὲ πέλασον, P. IV 227 (βόας) ζεύγλᾳ πέλασσὲν. Vgl. die homerische Bekräftigungsformel τὸ δὲ καὶ τετελεσμένον ἔσται. Das maskuline Particip, weil der Gott spricht.

16. ‘Kekropsberg’ heifst die Akropolis, weil Kekrops als ihr erster Ansiedler galt (vgl. VIII 44 12) und im Erechtheion begraben lag. Sie hiefs daher auch Κεκροπία.

17. κευθμών: Attikas Grenzen reichten tief hinein in das schluchtenreiche Gebirge; vgl. IX 39 u. zu V 74 10. Zu κευθμών ‘tiefer Grund, Thal’, Pind. Fr. 70 (Ἀπόλλων) τὸν τρικάρανον Πτῴου κευθμῶνα κατέσχε.

18. Τριτογενής, sonst Τριτογένεια; noch Hom. Hymn. XXVIII 4. Arist. Ritt. 1189.

20. ἱππόσυνη, *abstractum pro concreto*, ‘Reiterei’. Vgl. zu IV 23 15.

22. τοι: richtiger οἱ. Vgl. c. 211 14.

174 Αὕτη ἐγένετο ἡ ἐς Θεσσαλίην στρατηίη, βασιλέος τε μέλλοντος διαβαίνειν ἐς τὴν Εὐρώπην ἐκ τῆς Ἀσίης καὶ ἐόντος ἤδη ἐν Ἀβύδῳ. Θεσσαλοὶ δὲ ἐρημωθέντες συμμάχων οὕτω δὴ ἐμήδισαν προθύμως οὐδ' ἔτι ἐνδοιαστῶς, ὥστε ἐν τοῖσι πρήγμασι ἐφαίνοντο βασιλέι ἄνδρες ἐόντες χρησιμώτατοι.

175 Οἱ δὲ Ἕλληνες ἐπείτε ἀπίκατο ἐς τὸν Ἰσθμόν, ἐβουλεύοντο πρὸς τὰ λεχθέντα ἐξ Ἀλεξάνδρου τῇ τε στήσονται τὸν πόλεμον καὶ ἐν οἵοισι χώροισι. ἡ νικῶσα δὲ γνώμη ἐγίνετο τὴν ἐν Θερμοπύλῃσι ἐσβολὴν φυλάξαι· στεινοτέρη γὰρ ἐφαίνετο ἐοῦσα τῆς ἐς Θεσσαλίην καὶ

κοσίους μὲν εἰς τὰ Τέμπη καὶ Μναμίαν στρατηγὸν ἔπεμψαν.

18. καταπατηθῆναι 'sich zertreten zu lassen'.

23. Sie hätten auch diesen Weg leicht sperren können. Aber Xerxes zog vielmehr durch die Pässe westlich vom Olymp (zu c. 128 7), zu deren Besetzung ihre Zahl, zumal bei der Unzuverlässigkeit der Thessaler, nicht ausreichte.

25. κατά, wie IV 35 3, = παρά (c. 128 8).

174. 5. S. VIII 31 ff. IX 31. Aufstellung bei Artemision und Thermopylä. Orakel von den Winden (c. 175—178).

175. 3. στήσονται: zu c. 9 β 2. — οἵοισι, statt des einfachen zu τῇ parallelen Relativs (τοῖσι). S. zu II 3 7.

5. στεινοτέρη: vgl. unten c. 176 10. Die durchschnittliche Breite des zwischen Ossa und Peneios laufenden Tempe-Passes beträgt etwa 150 Fuſs; aber an manchen Stellen hat der Fluſs nicht einmal Raum für die Fahrstraſse gelassen, die deshalb in die Felsen der Ossa gehauen werden muſste, zur Zeit des Xerxes aber wohl überhaupt noch nicht in der bis heute erhaltenen brauchbaren Verfassung war.

ἅμα ἀγχοτέρη τε τῆς ἑωυτῶν ⟨χώρης καὶ μούνη⟩. τὴν δὲ ἀτραπόν, δι' ἣν ἥλωσαν οἱ ἁλόντες Ἑλλήνων ἐν Θερμοπύλῃσι, οὐδὲ ἤδεσαν ἐοῦσαν πρότερον ἢ περ ἀπικόμενοι ἐς Θερμοπύλας ἐπύθοντο Τρηχινίων. ταύτην ὦν ἐβουλεύσαντο φυλάσσοντες τὴν ἐσβολὴν μὴ παριέναι ἐς τὴν Ἑλλάδα τὸν βάρβαρον, τὸν δὲ ναυτικὸν στρατὸν πλέειν γῆς τῆς Ἱστιαιώτιδος ἐπὶ Ἀρτεμίσιον. ταῦτα γὰρ ἀγχοῦ τε ἀλλήλων ἐστὶ ὥστε πυνθάνεσθαι τὰ κατὰ ἑκατέρους ἐόντα, οἵ τε χῶροι οὕτω ἔχουσι. τοῦτο μὲν τὸ Ἀρτεμίσιον· ἐκ τοῦ πελάγεος τοῦ Θρηικίου ἐξ εὐρέος συνάγεται ἐς στεινὸν ἐόντα τὸν πόρον τὸν μεταξὺ νήσου τε Σκιάθου καὶ ἠπείρου Μαγνησίης· ἐκ δὲ τοῦ στεινοῦ τῆς Εὐβοίης ἤδη τὸ Ἀρτεμίσιον δέκεται αἰγιαλός, ἐν δὲ Ἀρτέμιδος ἱρόν. ἡ δὲ αὖ διὰ Τρηχῖνος ἔσοδος ἐς τὴν Ἑλλάδα ἐστὶ τῇ στεινοτάτη ἡμίπλεθρον. οὐ μέντοι

176

7. ἥλωσαν οἱ ἁλόντες; vgl. II 49 ποιεῦσι τὰ ποιεῦσι. Zur Sache c. 213 ff.

12. Ἱστιαιώτιδος, im nördlichen Euböa mit der Stadt Ἱστιαίη (VIII 23). Der Name haftete noch aus der Zeit der Perrhäber, die später in der thessalischen Histiäotis saſsen (zu c. 128 7). — ταῦτα, Θερμοπύλαι und Ἀρτεμίσιον. Die Flotte versperrte in dieser Stellung die Einfahrt in den Euripos (c. 182 11. VIII 15 8) und hinderte zugleich eine Landung im Rücken der Thermopylen.

14. οὕτω statt ὧδε (I 137 2).

176. τοῦτο μέν 'erstens', entsprechend 6 δὲ αὖ, wie III 106 3. — τὸ Ἀρτεμίσιον, frei als Thema der folgenden Erklärung vorausgestellt. Vgl. Demosth. Phil. 7 28 χρήματα τοίνυν· ἔστι μὲν ἡ τροφὴ – δέκα μὲν ναυσὶ ταχείαις τεττεράκοντα τάλαντα, und Redeweisen wie τεκμήριον δέ, τὸ δὲ μέγιστον u. ä.

2. ἐκ τοῦ πελάγεος – ἐξ εὐρέος: V 119 κατειλήθησαν ἐς Λάβραυνδα ἐς Διὸς στρατίου ἱρόν, VII 173 ἀπίκετο ἐς τὰ Τέμπεα ἐς τὴν ἐσβολήν. — Zu συνάγεται, contrahitur, ist aus den umgebenden Begriffen (πέλαγος, πόρος) das Subjekt zu ergänzen. Vgl. IV 25 μέχρι μὲν δὴ τούτων γινώσκεται (sc. ἡ χώρη).

5 f. δέκεται: sonst ἐκδέκεται (I 204 3) oder ὑποδέκεται (15). Il. τ 290 δέχεται κακὸν ἐκ κακοῦ αἰεί, Hesiod. Theog. 800 ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτερος ἄθλος. Kommt man durch den Sund zwischen Skiathos und Magnesia, so hat man Artemision vor sich. — Plut. Them. 8 ἔστι δὲ τῆς Εὐβοίας τὸ Ἀρτεμίσιον ὑπὲρ τὴν Ἑστίαιαν αἰγιαλὸς εἰς βορέαν ἀναπεπταμένος, ἀντιτείνει δ' αὐτῷ μάλιστα τῆς ὑπὸ Φιλοκτήτῃ γενομένης χώρας Ὀλιζών.. ἔχει δὲ ναὸν οὐ μέγαν Ἀρτέμιδος ἐπίκλησιν Προσηφίας. — Τρηχίς heiſst sonst die Stadt (c. 199 1 u. 7. 201 7), hier aber und c. 203 15. VIII 21 1. 66 2 die zugehörige Landschaft (γῆ ἡ Τρηχινίη oder nur ἡ Τρηχινίη, c. 199 7. 201 2. VIII 31 4); ebenso Thukyd. III 92. IV 78. V 12.

7. Ἑλλάδα, hier im engeren Be-

κατὰ τοῦτό γε ἐστὶ τὸ στεινότατον τῆς χώρης τῆς ἄλλης, ἀλλ' ἔμπροσθέ τε Θερμοπυλέων καὶ ὄπισθε, κατά τε Ἀλπηνοὺς ὄπισθε ἐόντας ἐοῦσα ἁμαξιτὸς μούνη, καὶ ἔμπροσθε κατὰ Φοίνικα ποταμὸν ἀγχοῦ Ἀνθήλης πόλιος ἄλλη ἁμαξιτὸς μούνη. τῶν δὲ Θερμοπυλέων τὸ μὲν πρὸς ἑσπέρης ὄρος ἄβατόν τε καὶ ἀπόκρημνον, ὑψηλόν, ἀνατεῖνον ἐς τὴν Οἴτην· τὸ δὲ πρὸς τὴν ἠῶ τῆς ὁδοῦ θάλασσα ὑποδέκεται καὶ τενάγεα. ἔστι δὲ ἐν τῇ ἐσόδῳ ταύτῃ θερμὰ λουτρά, τὰ Χύτρους καλέουσι

griff, der Thessalien ausschliefst. Über das Lokal Genaueres c. 198 ff.

8. *κατὰ τοῦτο* 'an dieser Stelle' (III 156 3). — *τὸ στεινότατον*, auch c. 216 8; sonst ohne Artikel (zu IV 86 10). — *τῆς ἄλλης* ist an diesem Orte jedenfalls unbrauchbar, und nicht mit dem zu c. 164 11 bemerkten Usus zu entschuldigen; denn der Fehler liegt im Widerspruch mit *κατὰ τοῦτο*. Wahrscheinlich standen die Worte *τῆς ἄλλης* hinter *ἀλλ'* (*ἀλλὰ*) und bildeten einen von *ἔμπροσθε – καὶ ὄπισθε* abhängigen partitiven Genetiv, 'sondern im übrigen Lande ein Ort vor und ein Ort hinter Thermopylä', wie VI 47 *τὰ δὲ μέταλλα τὰ Φοινικικὰ ταῦτα ἐστὶ τῆς Θάσου μεταξὺ Αἰνύρων τε χώρου καλεομένου καὶ Κοινύρων*. Möglich auch dafs Her. *τῆς Μηλίδος* geschrieben.

9. *ἔμπροσθε*, von Trachis her. Die Entfernung zwischen den beiden Engen beträgt etwas über 15 Stadien (c. 200).

10. *Ἀλπηνούς*: zu c. 216 5.

11. S. zu c. 200 4.

13 f. *τὸ πρὸς ἑσπέρης*, adverbial, wie c. 20 15. — So klar und zutreffend diese Topographie im übrigen ist, so zeigt doch die Karte dafs Her., wie auch noch einige neuere Reisende, über die Richtung der Küste eine ungenaueVorstellung hatte. Er denkt sie von N. nach S. streichend, während sie bei Trachis entschieden ostwärts umbiegt. So stände hier statt *ἑσπέρης* richtiger *μεσαμβρίης*, und nachher *ἄρκτον* für *ἠῶ*; ebenso c. 199 7. 200 2. 201 8 *ἠῶ* statt *μεσαμβρίην*.

15. Eigentlich *τενάγεα – καὶ θάλασσα*. Die hauptsächlich durch den Spercheios bewirkte Versumpfung und Verschlammung der Küste hat seit dem Altertum so sehr zugenommen, dafs der Meerbusen auf eine Meile hinaus mit Sumpfboden ausgefüllt und der Flufs in ein neues Bett gedrängt worden ist. Doch ist auch jetzt nur der alte Weg an der Sohle des Gebirges passierbar. 'Der Dammweg geht hier dicht unter dem Berge vorbei und gestattet an dieser Stelle kaum zwei Reitern nebeneinander zu reiten; der Morast ist rechts zwischen dem Damme und der See und so gefährlich, dafs wir beinahe mit unseren Pferden versunken wären, weil wir unkluger Weise es wagten einige Schritte von der Strafse ab hineinzureiten'. Clark Travels IV 247.

16. *ἐν τῇ ἐσόδῳ ταύτῃ*, nahe der östlichen Enge oder den eigentlichen Thermopylen. 'Die warmen Wasser, denen die Thermopylen ihren Namen verdanken, sprudeln am Fufse der Bergwand in reicher Fülle hervor. Man zählt zwei Hauptquellen und mehrere kleinere. Das Wasser hat einen beträchtlichen Wärmegrad und einen lästig star-

οἱ ἐπιχώριοι, καὶ βωμὸς ἵδρυται Ἡρακλέος ἐπ' αὐτοῖσι. ἐδέδμητο δὲ τεῖχος κατὰ ταύτας τὰς ἐσβολάς, καὶ τό γε παλαιὸν πύλαι ἐπῆσαν. ἔδειμαν δὲ Φωκέες τὸ τεῖχος δείσαντες, ἐπεὶ Θεσσαλοὶ ἦλθον ἐκ Θεσπρωτῶν οἰκήσοντες γῆν τὴν Αἰολίδα, τήν περ νῦν ἐκτέαται. ἅτε δὴ πειρωμένων τῶν Θεσσαλῶν καταστρέφεσθαι σφέας, τοῦ-

ken Schwefelgeruch; es setzt so viel Gestein ab, dafs es den ganzen jetzt wenigstens mehrere hundert Schritte breiten Küstenstreif, über welchem es dem Sumpfboden zurieselt, mit einer porösen Steinkruste überzogen hat. Es ist nicht zu verkennen, dafs der Pafs auf diese Weise immer an Breite zunimmt, doch ist die eigentlich schmalste Stelle desselben gleich südlich (richtiger 'östlich') über den Quellen, und aufser dem Bereiche ihrer Petrifikationskraft ... Den Raum ausgenommen, den die von den Quellen gebildete Steinkruste überdeckt, ist der ganze Pafs mit grünem Gebüsch bewachsen, und an der schönen Felswand des Öta kleben Eichen, Myrten, Tannen und Fichten'. Rofs Königsreisen I 90. — Der Ausdruck *Χύτροι* ('Kochtöpfe') betrifft nicht sowohl die Quellen als die Becken, welche das heifse Wasser zu Wildbädern auffiengen. Paus. IV 35 9 *γλανκότατον μὲν οἶδα ὕδωρ θεασάμενος τὸ ἐν Θερμοπύλαις οὔτι που πᾶν, ἀλλ' ὅσον κάτεισιν ἐς τὴν κολυμβήθραν ἥντινα ὀνομάζουσιν ἐπιχώριοι Χύτρους γυναικείους*.

17. Warme Wildbäder hiefsen in der Regel *Ἡράκλεια λουτρά*, nach dem Mythos, dafs sie Athene (oder Hephästos) dem ermatteten Helden zur Labung bereitete. Der Epiker Peisandros bei Schol. Arist. Nub. 1050 *τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλανκῶπις Ἀθήνη Ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης*. Auch sonst hatte sich die Heraklessage gerade in dieser Gegend vielfach lokalisiert (vgl. c. 193 9. 198 12. 216 7). Im Epos *Αἰγίμιος* sagte Herakles mit Hinweis auf dieses Lokal: *ἔνθα ποτ' ἔσται ἐμὸν ψυκτήριον ὄρχαμε λαῶν* (Athen. 503 d), nämlich in dem anstofsenden Hain.

18. Ruinen dieser oder einer späteren Befestigung sind noch in den Gebüschen an dem Felsenabsturz, westlich von den Quellen, vorhanden (Gell Itinerary 239). Der Plural *ἐσβολάς* wie I 185 32; es ist nur die eine Enge, die östliche, gemeint.

19. Um diese Zeit berührte das Gebiet der Phokeer nicht mehr den Pafs; denn die ihn westlich und südlich umwohnenden Malier gehörten zur thessalischen Symmachie, und gleich östlich aufser den Engen safsen die Lokrer (c. 216 6). Es war aber bei der Einwanderung der Thessaler eine so durchgreifende Verschiebung der in diesen Landschaften ansessigen Stämme nach Süden zu eingetreten, dafs es wohl glaublich ist, dafs die Phokeer vordem auch auf dieser Seite des Gebirges am malischen Busen hinauf bis zum Spercheios gewohnt haben, wo noch die Städte Antikyra und Trachis an die gleichnamigen phokischen Städte am Parnafs erinnern; dann aber durch das Vordrängen der Malier und Lokrer diesen Küstenstrich (bis auf einen schmalen Streif bei Daphnus) verloren.

20. Thuk. I 12 ff. *Βοιωτοὶ τε γὰρ οἱ νῦν ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν ἐξ Ἄρνης ἀναστάντες ὑπὸ Θεσσαλῶν τὴν νῦν μὲν Βοιωτίαν πρότερον δὲ Καδμηίδα γῆν καλουμένην ᾤκησαν*.

21. *Αἰολίδα*: zu c. 95 7. 132 2.

το προεφυλάξαντο οἱ Φωκέες, καὶ τὸ ὕδωρ τὸ θερμόν τότε ἐπῆκαν ἐπὶ τὴν ἔσοδον, ὡς ἂν χαραδρωθείη ὁ χῶρος, πᾶν μηχανώμενοι ὅκως μή σφι ἐσβάλοιεν οἱ Θεσσαλοὶ ἐπὶ τὴν χώρην. τὸ μέν νυν τεῖχος τὸ ἀρχαῖον ἐκ παλαιοῦ τε ἐδέδμητο καὶ τὸ πλέον αὐτοῦ ἤδη ὑπὸ χρόνου ἔκειτο· τοῖσι δὲ ⟨Ἕλλησι⟩ αὖτις ὀρθώσασι ἔδοξε ταύτῃ ἀπαμύνειν ἀπὸ τῆς Ἑλλάδος τὸν βάρβαρον. κώμη δὲ ἐστὶ ἀγχοτάτω τῆς ὁδοῦ Ἀλπηνοὶ οὔνομα· ἐκ ταύτης δὲ ἐπισιτιεῖσθαι ἐλογίζοντο οἱ Ἕλληνες.

177 Οἱ μέν νυν χῶροι οὗτοι τοῖσι Ἕλλησι εἶναι ἐφαίνοντο ἐπιτήδεοι· ἅπαντα γὰρ προσκεψάμενοι καὶ ἐπιλογισθέντες ὅτι οὔτε πλήθεϊ ἕξουσι χρᾶσθαι οἱ βάρβαροι οὔτε ἵππῳ, ταύτῃ σφι ἔδοξε δέκεσθαι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα. ὡς δὲ ἐπύθοντο τὸν Πέρσην ἐόντα ἐν Πιερίῃ, διαλυθέντες ἐκ τοῦ Ἰσθμοῦ ἐστρατεύοντο αὐτῶν οἱ μὲν ἐς Θερμοπύλας πεζῇ, ἄλλοι δὲ κατὰ θάλασσαν ἐπ' Ἀρτεμίσιον.

178 Οἱ μὲν δὴ Ἕλληνες κατὰ τάχος ἐβοήθεον διαταχθέντες, Δελφοὶ δ' ἐν τούτῳ τῷ χρόνῳ ἐχρηστηριάζοντο τῷ θεῷ ὑπὲρ ἑωυτῶν καὶ τῆς Ἑλλάδος καταρρωδηκότες, καί σφι ἐχρήσθη ἀνέμοισι εὔχεσθαι· μεγάλους γὰρ τούτους ἔσεσθαι τῇ Ἑλλάδι συμμάχους. Δελφοὶ δὲ δεξάμενοι τὸ μαντήιον πρῶτα μὲν Ἑλλήνων τοῖσι βουλομένοισι εἶναι ἐλευθέροισι ἐξήγγειλαν τὰ χρησθέντα αὐτοῖσι, καί σφι δεινῶς καταρρωδέουσι τὸν βάρβαρον

28. *ἔκειτο*: sie hatte sich als unzureichend erwiesen (c. 215). — *ὀρθώσασι, postquam erexissent.*

177. 3. *πλήθεϊ χρᾶσθαι*, auch c. 211 9; wie es scheint, ein militärischer Ausdruck von Entwickelung und Angriff in Massen.

4. *σφι ἔδοξε*, nach *προσκεψάμενοι* eine leichte Anakoluthie; jene Worte sind an Wert = *ἐβουλεύσαντο*. Ebenso VIII 87 *καὶ ἣ οὐκ ἔχουσα διαφυγεῖν – ἔδοξέ οἱ τόδε ποιῆσαι*. Vgl. zu III 16 13.

6. *Πιερίῃ*: zu c. 131 1. — Am Isthmos scheinen sich nicht blofs die Vertreter der Nation, sondern auch die Kontingente der See- und Landwehr gesammelt zu haben. S. c. 173 27. VIII 71 6.

178. *διαταχθέντες* 'verteilt', sc. *οἱ μὲν ἐς Θερμοπύλας οἱ δὲ ἐς Ἀρτεμίσιον.*

5. Das Orakel soll gelautet haben: *ὦ Δελφοὶ λίσσεσθ ἀνέμους καὶ λώιον ἔσται* (Klem. Alex. Strom. p. 753). Ein ähnliches c. 189. Die Bestätigung c. 188 ff. VIII 12 f.

8. Verb. *σφι ἐξαγγείλαντες.*

ἐξαγγείλαντες χάριν ἀθάνατον κατέθεντο. μετὰ δὲ ταῦτα οἱ Δελφοὶ τοῖσι ἀνέμοισι βωμόν τε ἀπέδεξαν ἐν Θυίῃ, τῇ περ τῆς Κηφισοῦ θυγατρὸς Θυίης τὸ τέμενος ἐστί, ἐπ' ἧς καὶ ὁ χῶρος οὗτος τὴν ἐπωνυμίην ἔχει, καὶ θυσίῃσι σφέας μετήισαν.

179 Δελφοὶ μὲν δὴ κατὰ τὸ χρηστήριον ἔτι καὶ νῦν τοὺς ἀνέμους ἱλάσκονται. ὁ δὲ ναυτικὸς Ξέρξεω στρατὸς ὁρμώμενος ἐκ Θέρμης πόλιος παρέβαλε νηυσὶ τῇσι ἄριστα πλεούσῃσι δέκα ἰθὺ Σκιάθου, ἔνθα ἦσαν προφυλάσσουσαι νέες τρεῖς Ἑλληνίδες, Τροιζηνίη τε καὶ Αἰγιναίη καὶ Ἀττική. προϊδόντες δὲ οὗτοι τὰς νέας τῶν βαρβάρων ἐς φυγὴν ὅρμησαν. 180 τὴν μὲν δὴ Τροιζηνίην, τῆς ἦρχε Πρηξῖνος, αὐτίκα αἱρέουσι ἐπισπόμενοι οἱ βάρβαροι, καὶ ἔπειτα τῶν ἐπιβατέων αὐτῆς τὸν καλλιστεύοντα ἀγαγόντες ἐπὶ τῆς πρώρης τῆς νεὸς ἔσφαξαν, διαδέξιον ποιεύμενοι τὸν εἷλον τῶν Ἑλλήνων πρῶ-

9. Die Worte *ἐξαγγείλαντες χάριν ἀθάνατον κατέθεντο* bilden einen korrekten Hexameter, und sind wohl eine zufällige Reminiscenz aus einem poetischen Berichte über diesen Umstand, etwa aus der Inschrift eines Dank- und Weihgeschenkes, womit die Hellenen sich den Delphern oder gar den Winden selbst erkenntlich bewiesen. Vom Ausdrucke zu VI 41 13.

11 f. *Θυίη*, eine mit den ältesten Landessagen verbundene Heroine, des Kephisos oder, nach speciell delphischem Mythos, des Kastalios Tochter und vom Apoll Mutter des Delphos. Sie soll zuerst dem Dionys geopfert und zur Benennung der diesem Gotte schwärmenden priesterlichen Frauen (*Θυῖαι* oder *Θυιάδες*) veranlafst haben (Paus. X 6 4). Ihr Name erinnerte an stürmische Winde (vgl. *θύελλα*, Homer *ἄνεμος σὺν λαίλαπι θύων*); und das genügte, um den Altar der Winde in ihre Nähe zu stellen. Die Lage des gleichnamigen Ortes ist unbekannt.

13. *μετήισαν*, *prosequebantur* (IV 7 7).

Erstes Seegefecht; die persische Flotte bei Sepias; die hellenische bei Chalkis (c. 179—183). Überschlag aller persischen Streitkräfte (c. 184—187).

179. 3. *παραβάλλειν*, intransitiv wie *δια- ἐς- ἐμ- προσβάλλειν*, 'auf-, heranfahren', *ἐπελαύνειν* (c. 183 6). Die zehn Schiffe bildeten den Vortrab der Flotte (c. 183), und insofern konnte die Bewegung der kleinen Abteilung dem Ganzen (*ὁ ναυτικὸς στρατός*) zugeschrieben werden.

4. *ἄριστα πλεούσῃσι*: es waren sidonische (VIII 92); vgl. c. 96 2. — *ἔνθα*, nicht bei der Insel selbst, sondern weiter nordwärts der Mündung des Peneios gegenüber (c. 182).

180. 5. Man erklärt *διαδέξιον ποιεύμενοι*, unter Vergleich von Redensarten wie *δεξιόν*, *αἴσιον*, *οἰωνόν τι ποιεῖσθαι*, *laetum omen captantes*, ohne dafs dieser nur erratene Sinn sich dem Zusammen-

τον καὶ κάλλιστον. τῷ δὲ σφαγιασθέντι τούτῳ οὔνομα ἦν Λέων· τάχα δ' ἄν τι καὶ τοῦ οὐνόματος ἐπαύροιτο.
181 ἡ δὲ Αἰγιναίη, τῆς ἐτριηράρχεε Ἀσωνίδης, καί τινά σφι θόρυβον παρέσχε, Πυθέω τοῦ Ἰσχενόου ἐπιβατεύοντος, ἀνδρὸς ἀρίστου γενομένου ταύτην τὴν ἡμέρην· ὃς ἐπειδὴ ἡ νηῦς ἡλίσκετο ἐς τοῦτο ἀντεῖχε μαχόμενος ἐς ὃ κατεκρεουργήθη ἅπας. ὡς δὲ πεσὼν οὐκ ἀπέθανε ἀλλ' ἦν ἔμπνοος, οἱ Πέρσαι, οἵ περ ἐπεβάτευον ἐπὶ τῶν νεῶν, δι' ἀρετὴν τὴν ἐκείνου περιποιῆσαί μιν περὶ πλείστου ἐποιήσαντο, σμύρνῃσί τε ἰώμενοι τὰ ἕλκεα καὶ σινδόνος βυσσίνης τελαμῶσι κατειλίσσοντες· καί μιν, ὡς ὀπίσω ἀπίκοντο ἐς τὸ ἑωυτῶν στρατόπεδον, ἐπεδείκνυσαν ἐκπαγλεόμενοι πάσῃ τῇ στρατιῇ περιέποντες εὖ. τοὺς δὲ ἄλλους τοὺς ἔλαβον ἐν τῇ νηὶ
182 ταύτῃ περιεῖπον ὡς ἀνδράποδα. αἱ μὲν δὴ δύο τῶν νεῶν οὕτω ἐχειρώθησαν· ἡ δὲ τρίτη, τῆς ἐτριηράρχεε Φόρμος ἀνὴρ Ἀθηναῖος, φεύγουσα ἐξοκέλλει ἐς τὰς ἐκβολὰς τοῦ Πηνειοῦ, καὶ τοῦ μὲν σκάφεος ἐκράτησαν οἱ βάρβαροι, τῶν δὲ ἀνδρῶν οὔ· ὡς γὰρ δὴ τάχιστα ἐπώκειλαν τὴν νέα οἱ Ἀθηναῖοι, ἀποθορόντες κατὰ Θεσσαλίην πορευόμενοι ἐκομίσθησαν ἐς Ἀθήνας.
183 Ταῦτα οἱ Ἕλληνες οἱ ἐπ' Ἀρτεμισίῳ στρατοπεδευόμενοι πυνθάνονται παρὰ πυρσῶν ἐκ Σκιάθου· πυ-

hange, zumal an *πρῶτον*, passend anschlösse. Wahrscheinlich soll gesagt worden dafs die Mannschaft den ersten und schönsten Gefangenen ihrem Gotte als eine Art Erstlingsopfer darbrachte (vgl. c. 197 18). Opferung von Kriegsgefangenen war gerade bei Phöniken häufig. Und weil bei dieser Ceremonie Blut- und Fleischteile dem Einzelnen zum Kosten umhergereicht (*διαδέχεσθαι*) wurden (s. zu III 11 12), mochte man ein solches Opfer ein (*ἱρὸν*) *διαδέξιον* nennen. Zur Form vgl. *ὑποδέξιος* c. 49 11.

7. Vielleicht hatte er es zum Teil auch seinem Namen zu verdanken'. Wenn schon seiner Schönheit wegen gerade er zum Opfer erlesen worden, so konnte sein stolzer einen Vorrang andeutender Name die Wahl nur bekräftigen. Vom Tempus des Potentials zu I 70 17.

181. 2. *ἐπιβατεύοντος* = *ἐπιβάτεω ἐόντος*.

3. *ταύτην τὴν ἡμέρην*: zu c. 50 22.

5. *κατεκρεουργήθη*: VIII 92 6 von ihm *κατακοπέντα*. Vgl. III 13 7. Aeschyl. Pers. 463 *παίουσι, κρεοκοποῦσι δυστήνων μέλη*.

9. *σινδόνος βυσσίνης*: zu II 86 25.

183. 2. *παρά*, als sollte ein per-

θόμενοι δὲ καὶ καταρρωδήσαντες ἀπὸ τοῦ Ἀρτεμισίου μετορμίζοντο ἐς Χαλκίδα, φυλάξοντες μὲν τὸν Εὔριπον, λείποντες δὲ ἡμεροσκόπους περὶ τὰ ὑψηλὰ τῆς Εὐβοίης. τῶν δὲ δέκα νεῶν τῶν βαρβάρων τρεῖς ἐπήλασαν περὶ τὸ ἕρμα τὸ μεταξὺ ἐὸν Σκιάθου τε καὶ Μαγνησίης καλεόμενον δὲ Μύρμηκα. ἐνθαῦτα οἱ βάρβαροι ἐπειδὴ στήλην λίθου ἐπέθηκαν κομίσαντες ἐπὶ τὸ ἕρμα, ὁρμηθέντες αὐτοὶ ἐκ Θέρμης, ὥς σφι τὸ ἐμποδὼν ἐγεγόνεε καθαρόν, ἐπέπλεον πάσῃσι τῇσι νηυσί, ἕνδεκα ἡμέρας παρέντες μετὰ τὴν βασιλέος ἐξέλασιν ἐκ Θέρμης. τὸ δὲ ἕρμα σφι κατηγήσατο ἐὸν ἐν πόρῳ μάλιστα Πάμμων Σκύριος. πανημερὸν δὲ πλέοντες οἱ βάρβαροι ἐξανύουσι τῆς Μαγνησίης χώρης ἐπὶ Σηπιάδα τε καὶ τὸν αἰγιαλὸν τὸν μεταξὺ Κασθαναίης τε πόλιος ἐόντα καὶ Σηπιάδος ἀκτῆς.

Μέχρι μέν νυν τούτου τοῦ χώρου καὶ Θερμοπυ- **184**

sonaler Begriff (*πυρσευόντων*) folgen. Zur Sache vgl. IX 3 4.

5. *ἡμεροσκόποι*, nicht etwa nur die tagsüber angestellten und nachts eingezogenen Posten, sondern überhaupt 'Späher', angewiesen die Bewegungen der Feinde von hohen Punkten aus zu beobachten, was nur bei Tage möglich war. Vgl. c. 192 2. 219 6. Aeschyl. Sept. 66 *πιστὸν ἡμεροσκόπον Ὀφθαλμὸν ἔξω, καὶ σαφηνείᾳ λόγου Εἰδὼς τὰ τῶν θύραθεν ἀβλαβὴς ἔσει*. Nachts pflegte man nur Sicherheitswachen nahe dem Lager zu postieren.

7. *περί*, in die Nähe. — *ἕρμα*: Hesych. *τὸν πετρώδη καὶ ἐπικυματιζόμενον ὥστε μὴ βλέπειν τόπον τῆς θαλάσσης· καὶ Ἀνακρέων· ἀσήμων ὑπὲρ ἑρμάτων φορεῦμαι*.

9. *στήλην λίθου*, als Warnungszeichen. — *κομίσαντες*, die sie zu dem Zwecke mitgebracht hatten.

10. *αὐτοί*, die Hauptmacht. Ebenso VIII 7 9.

11. *καθαρόν*, hier vom Hindernisse (*ἕρμα*) selbst; sonst von dem was der Hindernisse entledigt ist (*expeditus*, zu I 202 23. 211 5).

13. *ἐν πόρῳ μάλιστα*, *in ipso fere freto*.

14. Auf Skyros safsen damals noch halbbarbarische Doloper, ein verachtetes räuberisches Gesindel, das Kimon einige Jahre nachher gänzlich vertrieb.

184. Eine Übersicht der feindlichen Streitkräfte war schon oben c. 61—100 gegeben, jedoch nur nach Abstammung und Bewaffnung der Kontingente, die Berechnung der Gesamtzahl aber, weil mit dem Weitermarsche die Masse noch immer anschwoll, bis zu dem Punkte vorbehalten, wo der Feind an den Thoren Griechenlands anlangte, und kurz bevor Stürme und Kämpfe zu Wasser und zu Lande die Zahlenverhältnisse wesentlich veränderten. Der Überschlag selbst beruht zur Hälfte auf überliefertem Material; die andere ist ungefährer Ansatz

λέων ἀπαθής τε κακῶν ἦν ὁ στρατὸς καὶ πλῆθος ἦν τηνικαῦτα ἔτι, ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω, τῶν μὲν ἐκ τῶν νεῶν τῶν ἐκ τῆς Ἀσίης, ἐουσέων ἑπτὰ καὶ διηκοσιέων καὶ χιλιέων, τὸν μὲν ἀρχαῖον ἑκάστων τῶν ἐθνέων ὅμιλον ἐόντα τέσσερας καὶ εἴκοσι μυριάδας καὶ πρὸς χιλιάδα τε καὶ τετρακοσίους, ὡς ἀνὰ διηκοσίους ἄνδρας λογιζομένοισι ἐν ἑκάστῃ νηί. ἐπεβάτευον δὲ ἐπὶ τουτέων τῶν νεῶν, χωρὶς ἑκάστων τῶν ἐπιχωρίων ἐπιβατέων, Περσέων τε καὶ Μήδων καὶ Σακέων

(*δόκησις* c. 185 3). Überliefert war die Anzahl der Kriegsschiffe und ihrer durchschnittlichen Besatzung, der Transportschiffe, der Myriaden des Fufsvolks und der Reiterei, aber nur die asiatischen (Z. 5 und 29). Wobei erstens zu bemerken dafs die Resultate der bei Doriskos gehaltenen Musterung und Zählung mittelbar oder unmittelbar aus persischen Aufzeichnungen zu des Vf.s Kenntnis gekommen (vgl. zu c. 61 1); zweitens, dafs bei der rohen Art der Zählung (c. 60) und dem natürlichen Streben der Befehlshaber die Zahlen eher aufwärts als abwärts abzurunden, um dem Könige möglichst grofse Summen vorzulegen (vgl. c. 8 *δ*), schon in Doriskos mehr die verlangte und mögliche als die wirkliche Höhe der Kontingente verzeichnet wurde. Dazu kommt dafs H. selber die herkömmlichen überschwänglichen Vorstellungen über die Gröfse dieses Heeres (c. 228 4) teilt, und, um eine derselben entsprechende Zahl zu gewinnen, einmal zu nachweislich unbegründeten Ansätzen verleitet wurde (c. 184 15. 185 6 u. 12. 186 5), und dann die durch Krankheit und Desertion bewirkten Abgänge aufser Rechnung liefs.

2 ff. Nach *πλῆθος ἦν* (sc. *τοῦ στρατοῦ*, IX 96 12) erwartet man die Zahl im Nominativ oder im Genitiv. Der angelegte Satzbau wird aber durch den Einflufs des parenthetischen *ὡς – εὑρίσκω* auf die Konstruktion gestört, indem, nach einem bei H. häufigen Usus (s. zu I 65 20), das Weitere eine von *εὑρίσκω* abhängige Fügung im Akkusativ (*ἐόντα*) annimmt; infolge dessen wird der Subjektsbegriff *πλῆθος* erneuert mit *τὸν – ὅμιλον*. Über ähnliche Anakoluthien s. zu I 134 1. — Mit *τῶν μέν* (Ggs. 21 *τοῦ δὲ πεζοῦ*) beginnt die Einteilung in See- und Landtruppen. Jene werden wiederum gesondert in die einheimischen Mannschaften (5) und die persischen Epibaten (8). — Die Zahl der Trieren war am leichtesten festzustellen und stand so fest, dafs Aeschylos in seinen Persern (s. zu c. 89 1) sie selbst noch für die Schlacht bei Salamis, trotz der vorhergegangenen Verluste, gelten läfst. — *ἀρχαῖος* ‘ursprünglich’ (IV 99 6), in Gegensatz zu den hinzugekommenen fremden Epibaten. — *ἑκάστων τῶν ἐθνέων* ‘der betreffenden Nationen’, von denen die Schiffe gestellt waren (c. 89—95).

8. *λογιζομένοισι*, wie V 53 8 *διεξιοῦσι*. Sonst in der Regel der Singular. — Zweihundert Mann, darunter etwa 170 Ruderer, machten die gewöhnliche Besatzung einer hellenischen Triere.

9. *ἑκάστων*, der zu jedem Schiffe von Hause aus gehörigen. Dahin sind vornehmlich die ägyptischen (IX 32), und auf den asiatischen Schiffen die einheimischen Fürsten

τριήκοντα ἄνδρες. οὗτος ἄλλος ὅμιλος γίνεται τρισμύριοι καὶ ἑξακισχίλιοι καὶ πρὸς διηκόσιοί τε καὶ δέκα. προσθήσω δ' ἔτι τούτῳ καὶ τῷ προτέρῳ ἀριθμῷ τοὺς ἐκ τῶν πεντηκοντέρων, ποιήσας, ὅ τι πλέον ἦν αὐτῶν ἢ ἔλασσον, ἀν' ὀγδώκοντα ἄνδρας ἐνεῖναι. συνελέχθη δὲ ταῦτα τὰ πλοῖα, ὡς καὶ πρότερον εἰρέθη, τρισχίλια. ἦδη ὧν ἄνδρες ἂν εἶεν ἐν αὐτοῖσι τέσσερες μυριάδες καὶ εἴκοσι. τοῦτο μὲν δὴ τὸ ἐκ τῆς Ἀσίης ναυτικὸν ἦν, σύμπαν ἐὸν πεντήκοντα μυριάδες καὶ μία, χιλιάδες δὲ ἕπεισι ἐπὶ ταύτῃσι ἑπτὰ καὶ πρὸς ἑκατοντάδες ἓξ καὶ δεκάς. τοῦ δὲ πεζοῦ ἑβδομήκοντα καὶ ἑκατὸν μυριάδες ἐγένοντο, τῶν δὲ ἱππέων ὀκτὼ μυριάδες. προσθήσω δ' ἔτι τούτοισι τὰς καμήλους τοὺς ἐλαύνοντας Ἀραβίους καὶ τοὺς τὰ ἅρματα Λίβυας, πλῆθος ποιή-

mit ihrem Gefolge (c. 98) zu zählen. Sie werden in dem Anschlage nicht besonders berücksichtigt, weil sie in den zweihundert schon eingerechnet sind.

11. *τριήκοντα, triceni*. In der Schlacht bei Lade hatten die Chier je 40 Hopliten auf dem Schiffe (VI 15). Nach der älteren kunstloseren Art der Seetaktik verwandelte sich die *ναυμαχία* alsbald in eine *πεζομαχία* der mit den Breitseiten einander angreifenden Schiffe (vgl. IX 98 7); die neuere, die mehr aus Manövers (*διέκπλους*) bestand und mehr auf das Fahrzeug (*κατάδυσις*) als auf die Bemannung losgieng, war schon vom Ioner Dionysios geübt (VI 12), aber erst von den Athenern als Regel angenommen, die darum bei Salamis nur je 18, im peloponnesischen Kriege nur je 10 Epibaten an Bord hatten (Thukyd. I 49. III 95 u. s. Plut. Them. 14).

13. *προσθήσω*: das Futur wie I 207 20.

14 f. *ποιήσας* ‘setzend, annehmend (unten 24 u. c. 186 7). — *ὅ τι = εἴ τι, quicquid plus minus* d. i. *sive plus sive minus eorum fuit*. Xen. Kyr. I 5 13 *ὅ τι γὰρ μὴ τοιοῦτον ἀποβήσεται παρ' ὑμῶν, εἰς ἐμὲ τὸ ἐλλεῖπον ἥξει*. Der Ansatz ist aber doch zu hoch. Denn da die Pentekontoros nur 50 Ruderer hatte, so bleiben 30 Mann für den sonstigen Dienst, während doch die Triere bei einer Bemannung von 200 Köpfen nur 30 Nichtruderer hatte. Möglich, dafs Her. auch hier eine Anzahl fremder Epibaten der gewöhnlichen Mannschaft zugerechnet hat.

16. *πρότερον*: c. 97 10. Dort sind aber die Pentekontoren nur ein Bruchteil der 3000; die übrigen sind kleinere Fahrzeuge. Danach ermäfsigt sich dieser Posten um mehr als die Hälfte, zumal ein Teil der übrigen c. 186 3 f. noch besonders in Rechnung kommt.

17. *ἂν εἶεν* ‘mochten sein’. S. zu I 70 17.

21. *τοῦ δὲ πεζοῦ*, sc. *τοῦ ἐξ Ἀσίης*. — *ἑβδομήκοντα καὶ ἑκατόν*: nach Ktes. Pers. 23. Diod. IX 3 nur etwa die Hälfte.

22. *ἐγένοντο*, als Resultat der Zählung (c. 60 4). S. zu I 142 19.

23. Konstr. *τοὺς τὰς καμήλους ἐλαύνοντας*.

σας δισμυρίους ἄνδρας. καὶ δὴ τό τε ἐκ τῶν νεῶν καὶ τοῦ πεζοῦ πλῆθος συντιθέμενον γίνεται διηκόσιαί τε μυριάδες καὶ τριήκοντα καὶ μία, καὶ πρὸς χιλιάδες ἑπτὰ καὶ ἑκατοντάδες ἓξ καὶ δεκάς. τοῦτο μὲν τὸ ἐξ αὐτῆς τῆς Ἀσίης στράτευμα ἐξαναχθὲν εἴρηται, ἄνευ τε τῆς θεραπηίης τῆς ἑπομένης καὶ τῶν σιταγωγῶν
185 πλοίων καὶ ὅσοι ἐνέπλεον ⟨ἐν⟩ τούτοισι. τὸ δὲ δὴ ἐκ τῆς Εὐρώπης ἀγόμενον στράτευμα ἔτι προσλογιστέα τούτῳ παντὶ τῷ ἐξηριθμημένῳ· δόκησιν δὲ δεῖ λέγειν. νέας μέν νυν οἱ ἀπὸ Θρηίκης Ἕλληνες καὶ ⟨οἱ⟩ ἐκ τῶν νήσων τῶν ἐπικειμενέων τῇ Θρηίκῃ παρείχοντο εἴκοσι καὶ ἑκατόν· ἐκ μέν νυν τουτέων τῶν νεῶν ἄνδρες τετρακισχίλιοι καὶ δισμύριοι γίνονται. πεζοῦ δὲ τὸν Θρήικες παρείχοντο καὶ Παίονες καὶ Ἠορδοὶ καὶ Βοττιαῖοι καὶ τὸ Χαλκιδικὸν γένος καὶ Βρύγοι καὶ Πίερες καὶ Μακεδόνες

26. *γίγνεται* ‘giebt eine Summe von’.

28 f. *τοῦτο – εἴρηται* ‘hiermit ist aufgezählt’. Ähnlich III 9 6. IV 181 1. IX 32 1.

31. *ἐμπλέειν* und *ἐνεῖναι* (oder *πλέειν* und *εἶναι ἐν*) sagte man von der zum Schiff gehörigen Bemannung; *ἐπιπλέειν ἐπεῖναι ἐπιβατεύειν* von den Seesoldaten und allen die nur mitfuhren. Jene hatten ihren Aufenthalt meist unter, diese auf dem Verdeck (VIII 119).

185. 2. *προσλογιστέα*: vom Plural zu I 4 8.

3. Die *δόκησις* bezieht sich jedoch nur auf das Fufsvolk (12).

6. *νεῶν*, vorausgesetzt, dafs es vollbemannte Trieren waren.

7 ff. *Θρήικες*: s. c. 119. — *Παίονες*: s. c. 113. — *Ἠορδοί* safsen früher westlich vom Bermios-Gebirge, um den Begorrhites See (Becken von Ostrovo); von den Temeniden wurden sie grofsenteils ausgerottet, der Rest in das Land zwischen Axios und Strymon (Mygdonien) versetzt. Von diesen letzteren ist hier die Rede. — *Βοττιαῖοι*, in der westlichen Chalkidike um Olynthos (VIII 127). Vgl. zu c. 123 21. — Vom *Χαλκιδικὸν γένος* s. zu VIII 127 7. — Sitze und Abkunft dieser *Βρύγοι* sind ganz unsicher. VI 45 sind sie Thraken, wohnen in der Nachbarschaft der Makedonen, und werden von Mardonios unterworfen; nach der in dieser Stelle beobachteten Reihenfolge sind sie aber zwischen Chalkidike und der Axiosmündung zu suchen. Skymnos 434. Strabon p. 326 f. kennen *Βρῦγοι* in Epeiros und an den Quellen des Erigon. Fraglich ist auch ihr Verhältnis zu den *Βρίγες* (c. 73 3). — Die *Πίερες* sind hier irrtümlich aufgeführt. Pierien gehörte damals schon zu Makedonien, wenn auch der alte Name noch blieb. Die neuen Bewohner nennt Strabon p. 443 *Μακεδόνες Πιεριῶται*; die alten hatten neue Sitze jenseits des Strymon gefunden (zu c. 112 2), und gehören zu denen *ὅσοι τῆς Θρηίκης τὴν παραλίην νέμονται*. — *Περραιβοί*: zu c. 128 8. — Von den *Ἐνιῆνες* und den übrigen zu c. 132 2 f.

καὶ Περραιβοὶ καὶ Ἐνιῆνες καὶ Δόλοπες καὶ Μάγνητες καὶ Ἀχαιοὶ καὶ ὅσοι τῆς Θρηίκης τὴν παραλίην νέμονται, τούτων τῶν ἐθνέων τριήκοντα μυριάδας δοκέω γενέσθαι. αὗται ὧν αἱ μυριάδες ἐκείνῃσι προστεθεῖσαι τῇσι ἐκ τῆς Ἀσίης, γίνονται αἱ πᾶσαι ἀνδρῶν αἱ μάχιμοι μυριάδες διηκόσιαι καὶ ἑξήκοντα καὶ τέσσερες, ἔπεισι δὲ ταύτῃσι ἑκατοντάδες ἑκκαίδεκα καὶ δεκάς. τοῦ μαχίμου
186 δὲ τούτου ἐόντος ἀριθμὸν τοσούτου, τὴν θεραπηίην τὴν ἑπομένην τούτοισι καὶ τοὺς ἐν τῇσι σιταγωγοῖσι ἀκάτοισι ἐόντας καὶ μάλα ἐν τοῖσι ἄλλοισι πλοίοισι τοῖσι ἅμα πλέουσι τῇ στρατιῇ, τούτους τῶν μαχίμων ἀνδρῶν οὐ δοκέω εἶναι ἐλάσσονας ἀλλὰ πλεῦνας. καὶ δή σφεας ποιέω ἴσους ἐκείνοισι εἶναι καὶ οὔτε πλεῦνας οὔτε ἐλάσσονας οὐδέν· ἐξισούμενοι δὲ οὗτοι τῷ μαχίμῳ ἐκπληροῦσι τὰς ἴσας μυριάδας ἐκείνοισι. οὕτω πεντακοσίας τε μυριάδας καὶ εἴκοσι καὶ ὀκτὼ καὶ χιλιάδας τρεῖς καὶ ἑκατοντάδας δύο καὶ δεκάδας δύο ἀνδρῶν ἤγαγε

11. *ὅσοι – νέμονται*: nach c. 110 5. 115 10 waren diese zur Flotte zu rechnen.

12. *τούτων τῶν ἐθνέων* fafst den Inhalt des Relativsatzes (*τὸν Θρήικες . .*) epanaleptisch zusammen und ist genit. partit. zu *μυριάδες*, während *πεζοῦ* (7) genit. generis ist. — Diod. X 15 *τοὺς ἀπὸ τῆς Εὐρώπης συμμάχους* (Heer und Flotte zusammen) *οὐ πολὺ λείποντας τῶν εἴκοσι μυριάδων*.

13 f. Zum Satzbau vgl. c. 157 15.

186. *τοῦ μαχίμου*, kollektivisch, wie II 165 6, *τὸ ναυτικόν* (c. 184 18).

3. *ἀκάτοισι*: eine sehr kleine, zum Transport von Getreide schwerlich brauchbare Schiffsgattung. Unten c. 191 *ὁλκάδες*.

4. *μάλα* ‘wiederum’ (I 134 16).

5 f. Der hellenische Hoplite hatte in der Regel einen Diener (*ὑπηρέτης, σκευοφόρος*), welcher ihm Gepäck, Proviant, auch den Schild trug, der Reiter einen Knecht, welcher das Pferd besorgte (*ἱπποκόμος*), so dafs ein hellenisches Heer immer doppelt soviel Menschen als Soldaten zählte (Boeckh. Staatsh. I 377). Aber das persische Heer bestand zum grofsen Teile nur aus Leichtbewaffneten, und wenn auch die Anführer grofse Gefolge bei sich haben mochten, so ist doch unglaublich dafs auch jeder Gemeine einen Diener mit sich führte. Von der Flottenmannschaft nimmt dies H. selber nicht an; denn wenn er dieselbe auch in die Summe der *μάχιμοι* eingeschlossen hat, so reicht doch die Bemannung der Transportflotte mehr als hin, auch ihre Zahl auf das Doppelte zu bringen, so dafs die *θεραπηίη* im Ganzen nur für das Landheer in Betracht kommt.

7. *οὔτε*: zu c. 172 16.

Ξέρξης ὁ Δαρείου μέχρι Σηπιάδος καὶ Θερμοπυλέων.
187 οὗτος μὲν δὴ τοῦ συνάπαντος τοῦ Ξέρξεω στρατεύματος ἀριθμός, γυναικῶν δὲ σιτοποιῶν καὶ παλλακέων καὶ εὐνούχων οὐδεὶς ἂν εἴποι ἀτρεκέα ἀριθμόν· οὐδ' αὖ ὑποζυγίων τε καὶ τῶν ἄλλων κτηνέων τῶν ἀχθοφόρων καὶ κυνῶν Ἰνδικῶν τῶν ἑπομένων, οὐδ' ἂν τούτων ὑπὸ πλήθεος οὐδεὶς ἂν εἴποι ἀριθμόν. ὥστε οὐδέν μοι θῶμα [παρίσταται] προδοῦναι τὰ ῥέεθρα τῶν ποταμῶν ἔστι ὧν, ἀλλὰ μᾶλλον ὅκως τὰ σιτία ἀντέχρησε θῶμά μοι μυριάσι τοσαύτῃσι. εὑρίσκω γὰρ συμβαλλόμενος, εἰ χοίνικα πυρῶν ἕκαστος τῆς ἡμέρης ἐλάμβανε καὶ μηδὲν πλέον, ἕνδεκα μυριάδας μεδίμνων τελεομένας ἐπ' ἡμέρῃ ἑκάστῃ καὶ πρὸς τριηκοσίους τε ἄλλους μεδίμνους καὶ τεσσεράκοντα· γυναιξὶ δὲ καὶ εὐνούχοισι καὶ ὑποζυγίοισι καὶ κυσὶ .... οὐ λογίζομαι. ἀνδρῶν δὲ ἐουσέων τοσουτέων μυριάδων, κάλλεός τε εἵνεκα καὶ μεγάθεος οὐδεὶς αὐτῶν ἀξιονικότερος ἦν αὐτοῦ Ξέρξεω ἔχειν τοῦτο τὸ κράτος.

12. Ξέρξης ὁ Δαρείου: der volle Name hier nicht zu genauer Bezeichnung, was überflüssig wäre, sondern weil der ganze Satz mit seinem abschliefsenden wichtigen Inhalt in einem bedeutsamen, so zu sagen höheren Tone vorgetragen wird. Vgl. III 66 5. 88 1. VI 137 1. VII 1 2. IX 41 5. 64 4. Ähnlich auch Thukyd. II 19. 34. 47. 71. III 1 u. s.

187. 2. Auch die Athener führten auf der sikelischen Expedition σιτοποιοὺς ἐκ τῶν μυλώνων ἠναγκασμένους ἐμμίσθους mit sich (Thuk. VI 22).

5. κυνῶν Ἰνδικῶν: zu I 192 19.

7. προδοῦναι = ἐπιλιπεῖν (c. 21 4).

8. ἀντέχρησε: zu c. 127 10.

10. χοίνικα πυρῶν: soviel erhielten sonst selbst die Sklaven. Od. τ 27 οὐ γὰρ ἀνεργὸν ἀνέξομαι ὅς κεν ἐμῆς γε Χοίνικος ἅπτηται. Es war aber auch das geringste Mafs; daher καὶ μηδὲν πλέον. Vgl. zu VI 57 16.

11 ff. Die Rechnung enthält einen argen Divisionsfehler. Bekam jeder der 5,283,220 Mann täglich einen Chönix, so giebt das, bei 48 Chönix auf den Medimnos, die Summe von 110,067 1/12, nicht von 110,340 Medimnen. Bei der Division der 528 Myraden ergaben sich dem Rechner gerade 11 Myraden; bei der des Restes von 3220 kam er in zweiter Stelle auf einen Dividendus 340; nämlich 3220 : 48 = 60, Rest 340. Anstatt aber diesen auch noch zu dividieren, stellte er ihn, durch irgend ein Versehen, zu dem Quotienten, wobei er sogar den bereits gefundenen Quotienten der Chiliaden, 60, wieder fallen liefs.

14. Es fehlt etwa τὰ διδόμενα od. ὅσα ἐδίδοτο.

Ὁ δὲ δὴ ναυτικὸς στρατὸς ἐπείτε ὁρμηθεὶς ἔπλεε 188
καὶ κατέσχε τῆς Μαγνησίης χώρης ἐς τὸν αἰγιαλὸν τὸν μεταξὺ Κασθαναίης τε πόλιος ἐόντα καὶ Σηπιάδος ἀκτῆς, αἱ μὲν δὴ πρῶται τῶν νεῶν ὅρμεον πρὸς γῇ, ἄλλαι δ' ἐπ' ἐκείνῃσι ἐπ' ἀγκυρέων· ἅτε γὰρ τοῦ αἰ- 5
γιαλοῦ ἐόντος οὐ μεγάλου, πρόκροσσαι ὅρμεον τὸ ἐς πόντον καὶ ἐπὶ ὀκτὼ νέας. ταύτην μὲν τὴν εὐφρόνην οὕτω, ἅμα δὲ ὄρθρῳ ἐξ αἰθρίης τε καὶ νηνεμίης τῆς θαλάσσης ζεσάσης ἐπέπεσέ σφι χειμών τε μέγας καὶ πολλὸς ἄνεμος ἀπηλιώτης, τὸν δὴ Ἑλλησποντίην καλέουσι οἱ 10

Dreitägiger Sturm: Verluste der Feinde. Die hellenische Flotte wieder bei Artemision, die persische bei Aphetä. Die Hellenen nehmen fünfzehn Schiffe (c. 188—195).

188. 4f. πρὸς γῇ und ἐπ' ἀγκυρέων bilden Gegensätze: die erste Schiffsreihe war unmittelbar am Strande befestigt, die meerwärts (τὸ ἐς πόντον, IV 99 10) folgenden lagen vor Anker.

6f. πρόκροσσαι 'mit aufragenden Schnäbeln'. κρόσσαι, verwandt mit κροσσός κόρση κόρυς κόρυμβος, bezeichnet den vor- und aufspringenden Teil eines Körpers (vgl. II 125 2), insbesondere die Mauerzinne (Il. μ 258. 444). Danach heifst πρόκροσσος dasjenige, dessen Spitze und Haupt sich von seinem Rumpfe oder seiner Umgebung energisch ab- und emporhebt. So IV 152 von den Köpfen eherner Greifen am Rande eines Mischkessels. Je acht Schiffe stehen wie taktische Glieder der Länge nach hintereinander (ἐπὶ ὀκτώ, zu IV 67 4), die hohen Vorderteile meerwärts gerichtet (ἐς πόντον), die aus der Linie, welche die acht Schiffskörper bilden, zinnenförmig aufragen (vgl. das homerische νηῶν ὀρθοκραιράων). Die ganze Stelle ist unter dem Vorbilde von Il. ξ 33 ff. geschrieben: οὐδὲ γὰρ οὐδ' εὐρὺς περ ἐὼν ἐδυνήσατο πάσας Αἰγιαλὸς νῆας χαδέειν, στείνοντο δὲ λαοί. Τῷ ὅα πρόκροσσας ἔρυσαν καὶ πλῆσαν ἁπάσης Ἠιόνος στόμα μακρόν, ὅσον συνέργαθον ἄκραι, und, wie Eustathios dort richtig bemerkt, durch ihre gröfsere Ausführlichkeit eine Interpretation dazu. Denn in derselben Weise, wie die persische Flotte vom Lande ab meerwärts, war die achäische auf dem Strande vor Troia binnenwärts aufgestellt: in parallelen vertikal auf die Küste gerichteten Reihen, deren jede sich aus einer Anzahl hintereinander stehender Fahrzeuge zusammensetzte. Eben die Rücksicht auf die homerische Stelle zog auch das für das Sachverständnis hier nicht nötige Wort πρόκροσσαι in femininer Form nach sich, wogegen IV 152 18 κεφαλαὶ πρόκροσσοι. (Aristarchs Erklärung προκρόσσας τὰς κλιμακηδὸν νενεωλκημένας ἑτέρας πρὸ ἑτέρων ὥστε θεατροειδὲς φαίνεσθαι το νεώλκιον· κρόσσαι καὶ αἱ κλίμακες, läfst das Bild der Zinnen fallen und bezieht das Wort auf das durch den ansteigenden Boden bewirkte treppen- oder terrassenförmige Verhältnis ganzer dem Ufer parallelen Schiffsreihen zu einander; sie läfst sich jedoch mit den Andeutungen der Ilias schwerlich vereinigen).— οὕτω, sc. ὅρμεον.

10. ἀπηλιώτης: genauer wäre

περὶ ταῦτα τὰ χωρία οἰκημένοι. ὅσοι μέν νυν αὐτῶν αὐξόμενον ἔμαθον τὸν ἄνεμον, καὶ τοῖσι οὕτω εἶχε ὅρμου, οἳ δ' ἔφθησαν τὸν χειμῶνα ἀνασπάσαντες τὰς νέας, καὶ αὐτοί τε περιῆσαν καὶ αἱ νέες αὐτῶν· ὅσας δὲ τῶν νεῶν μεταρσίας ἔλαβε, τὰς μὲν ἐξέφερε πρὸς Ἴπνους καλεομένους τοὺς ἐν Πηλίῳ, τὰς δὲ ἐς τὸν αἰγιαλόν· αἳ δὲ περὶ αὐτὴν τὴν Σηπιάδα περιέπιπτον, αἳ δὲ ἐς Μελίβοιαν πόλιν, αἳ δὲ ἐς Κασθαναίην ἐξεβράσ-
189 σοντο· ἦν τε τοῦ χειμῶνος χρῆμα ἀφόρητον. λέγεται δὲ λόγος ὡς Ἀθηναῖοι τὸν Βορέην ἐκ Θεοπροπίου ἐπεκαλέσαντο, ἐλθόντος σφι ἄλλου χρηστηρίου τὸν γαμβρὸν ἐπίκουρον καλέσασθαι. Βορέης δὲ κατὰ τὸν Ἑλλήνων λόγον ἔχει γυναῖκα Ἀττικήν, Ὠρειθυίην τὴν Ἐρεχθέος. κατὰ δὴ τὸ κῆδος τοῦτο οἱ Ἀθηναῖοι, ὡς φάτις ὥρμηται, συμβαλλόμενοι σφίσι τὸν Βορέην γαμβρὸν εἶναι, ναυλοχέοντες τῆς Εὐβοίης ἐν Χαλκίδι ὡς ἔμαθον αὐξόμενον τὸν χειμῶνα ἢ καὶ πρὸ τούτου, ἐθύοντό τε καὶ ἐπεκαλέοντο τὸν τε Βορέην καὶ τὴν Ὠρειθυίην τιμωρῆ-

καικίης (Plin. II 121 *Caecian aliqui vocant Hellespontiam*); sahen doch die freilich südlicheren Attiker in ihm den Boreas (c. 189, vgl. VI 44 11). Es ist der aus den russischen Steppen über den Pontos und Thrakien streichende eisige und mit kalten Regenschauern verbundene Nordostwind.

12. ἔμαθον: zu c. 37 10.

13. οἳ δ': zu II 39 9.

16. Strab. p. 443 εἰς Ἴπνους τόπον τραχὺν τῶν περὶ τὸ Πήλιον . . τραχὺς δ' ἐστὶν ὁ παράπλους πᾶς ὁ τοῦ Πηλίου ὅσον σταδίων ὀγδοήκοντα· τοσοῦτος δ' ἐστὶ καὶ τοιοῦτος καὶ ὁ τῆς Ὄσσης. μεταξὺ δὲ κόλπος σταδίων πλειόνων διακοσίων ἐν ᾧ ἡ Μελίβοια.

18. ἐξεβράσσοντο, noch c. 190 6, bleibt im Bilde von τῆς θαλάσσης ζεσάσης (9).

19. τοῦ χειμῶνος, eigentlich genitivus generis, 'und war des Sturmes unerträglich viel'. S. zu I 36 2. Der Artikel wie III 109 πολλόν τι χρῆμα τῶν τέκνων. Plat. Theaet. 209 ἡδὺ χρῆμ' ἂν εἴη τοῦ καλλίστου τῶν περὶ ἐπιστήμης λόγου. Auch IX 16 μετιέναι πολλὰ τῶν δακρύων.

189. 3. ἄλλου, aufser den beiden früheren (c. 140 f.) — γαμβρός: hier in seiner älteren Bedeutung (γαμ–ρός), der durch Heirat (κῆδος) verwandte, κηδεστής, *affinis*. Erechtheus, der Oreithyia Vater, war zugleich Stammvater aller Attiker.

5. Er hatte die in der Nähe der Stadt lustwandelnde, wie Hades die Persephone, geraubt und nach seiner Heimat, dem winterlichen Thrakien, entführt, wo sie das Argonautenpaar Zetes und Kalais gebar.

6. ὁρμηται, *exiit* (III 56 5).

10. Wie Persephone nach dem Raube eine chthonische, so ist Oreithyia selber zur Windgöttin geworden. Aber die übliche Ableitung von θύειν (vgl. zu c. 178 11), 'Berg-

σαι σφίσι καὶ διαφθεῖραι τῶν βαρβάρων τὰς νέας, ὡς καὶ πρότερον περὶ Ἄθων. εἰ μέν νυν διὰ ταῦτα τοῖσι βαρβάροισι ὁρμέουσι Βορέης ἐπέπεσε, οὐκ ἔχω εἰπεῖν· οἱ δ' ὧν Ἀθηναῖοι σφίσι λέγουσι βοηθήσαντα τὸν Βορέην πρότερον καὶ τότε ἐκεῖνα κατεργάσασθαι, καὶ ἱρὸν ἀπελθόντες Βορέῳ ἱδρύσαντο παρὰ ποταμὸν Ἰλισόν.

Ἐν τούτῳ τῷ πόνῳ νέας οἳ ἐλαχίστας λέγουσι 190
διαφθαρῆναι τετρακοσιέων οὐκ ἐλάσσονας, ἄνδρας τε ἀναριθμήτους χρημάτων τε πλῆθος ἄφθονον. ὥστε Ἀμεινοκλέι τῷ Κρητίνεω ἀνδρὶ Μάγνητι γηοχέοντι περὶ Σηπιάδα μεγάλως ἡ ναυηγίη αὕτη ἐγένετο χρηστή, ὃς πολλὰ μὲν χρύσεα ποτήρια ὑστέρῳ χρόνῳ ἐκβρασσόμενα ἀνείλετο πολλὰ δὲ ἀργύρεα, θησαυρούς τε τῶν Περσέων εὗρε, ἄλλα τε [χρύσεα] ἄφατα χρήματα περιεβάλετο. ἀλλ' ὃ μὲν τἆλλα οὐκ εὐτυχέων εὑρήμασι μέγα πλούσιος ἐγένετο· ἦν γάρ τις καὶ τοῦτον ἄχαρις συμφορὴ 10
λυπεῦσα παιδοφόνος. σιταγωγῶν δὲ ὁλκάδων καὶ τῶν 191
ἄλλων πλοίων [διαφθειρομένων] οὐκ ἐπῆν ἀριθμός. ὥστε

durchstürmende', *montivaga*, ist sehr zweifelhaft.

12. περὶ Ἄθων: s. VI 44 11.

14. δ' ὧν: zu c. 35 5.

16 f. ἀπελθόντες, sonst ἀπονοστήσαντες, näml. nach dem Kriege. — Ἰλισόν, an dessen Ufer Oreithyia Blumen las, als sie entführt ward. Einen βωμὸς Βορέου kennt dort auch Plat. Phaedr. 229.

190. νέας, näml. μακράς, τριήρεας (VIII 1 2). — λέγουσι hat doppelten Bezug, wie III 80 28.

4. γηοχέειν, nur hier, von γήοχος (γαιήοχος) 'Landbesitzer'. Vgl. κληρουχέειν.

5. Vgl. VIII 8.

7. θησαυρούς, sc. χρημάτων (IX 106 4), Kriegskassen.

8. περιεβάλετο 'sich zueignete' (III 71 18).

9. μέγα πλούσιος, wie I 32 23.

10 f. καὶ τοῦτον: denn kein Mensch geniefst eines ungetrübten Glückes. — συμφορη – παιδοφόνος: der verschleierte Ausdruck läfst erraten dafs der Vater der unfreiwillige Mörder seines Kindes ward (Plut. mor. 864). Vgl. I 35 3. 41 4. III 50 3. 52 15. Nachahmend Dionys. Hal. Archaeol. III 21 ἔδει δὲ ἄρα καὶ τοῦτον (Horatius) ἄνθρωπον ὄντα μὴ πάντα διευτυχεῖν, ἀλλ' ἀπολαῦσαί τι τοῦ φθονεροῦ δαίμονος, ὃς αὐτὸν ἐκ μικροῦ μέγαν ἐν ὀλίγῳ θεὶς χρόνῳ καὶ εἰς ἐπιφάνειαν θαυμαστὴν καὶ παράδοξον ἐξάρας κατέβαλε φέρων αὐθημερὸν εἰς ἄχαριν συμφορὰν ἀδελφοκτόνον. ὡς γὰρ ἐγγὺς ἐγένετο τῶν πυλῶν κτλ.

191. 2. πλοίων, sc. τῶν διαφθαρέντων. — ἐπῆν: zu c. 170 22. — Der Konsekutivsatz ὥστε . . war ursprünglich nicht sowohl auf die Worte σιταγωγῶν – ἀριθμός, als

δείσαντες οἱ στρατηγοὶ τοῦ ναυτικοῦ στρατοῦ μή σφι κεκακωμένοισι ἐπιθέωνται οἱ Θεσσαλοί, ἕρκος ὑψηλὸν ἐκ τῶν ναυηγίων περιεβάλοντο. ἡμέρας γὰρ δὴ ἐχείμαζε τρεῖς· τέλος δὲ ἔντομά τε ποιεῦντες καὶ καταείδοντες γόησι οἱ Μάγοι τῷ ἀνέμῳ, πρός τε τούτοισι καὶ τῇ Θέτι καὶ τῇσι Νηρηίσι θύοντες, ἔπαυσαν τετάρτῃ ἡμέρῃ, ἢ ἄλλως κως αὐτὸς ἐθέλων ἐκόπασε. τῇ δὲ Θέτι ἔθυον πυθόμενοι παρὰ τῶν Ἰώνων τὸν λόγον, ὡς ἐκ τοῦ χώρου τούτου ἁρπασθείη ὑπὸ Πηλέος, εἴη τε ἅπασα ἡ ἀκτὴ ἡ Σηπιὰς ἐκείνης τε καὶ τῶν ἀλλέων Νηρηίδων.

192 Ὁ μὲν δὴ τετάρτῃ ἡμέρῃ ἐπέπαυτο, τοῖσι δὲ Ἕλλησι οἱ ἡμεροσκόποι ἀπὸ τῶν ἄκρων τῶν Εὐβοϊκῶν

auf die c. 190 1—3 erzählten Verluste an Kriegsschiffen und Mannschaft berechnet; erst nachträglich hat H. die Episode von Ameinokles (c. 190 4 ff.) eingeschoben und jenen Zusammenhang gelockert. Vgl. zu c. 22 2.

6. ἔντομα: zu II 119 9. Xen. An. IV 5 3 ἄνεμος βορρᾶς ἐναντίος ἔπνει παντάπασιν ἀποκαίων πάντα καὶ πήγνυς τοὺς ἀνθρώπους. ἔνθα δὴ τῶν μάντεών τις εἶπε σφαγιάσασθαι τῷ ἀνέμῳ, καὶ σφαγιάζεται. καὶ πᾶσι δὴ περιφανῶς ἔδοξε λῆξαι τὸ χαλεπὸν τοῦ πνεύματος. — καταείδοντες 'beschwichtigend'; eigentlich 'besprechend', weil dabei immer ein Zauberstück zu spielen schien. Vgl. φαρμακεύοντες c. 114 1. — γόησι, 'durch Zauberer', ist eine so ungewöhnliche Anwendung des Dativs, dafs Reiske γοητήῃσι oder χοῇσι, Bekker γοῇσι emendieren. Vielleicht ἐπῳδῇσι.

7. τῷ ἀνέμῳ, der Dativ, als wäre ἐπαείδοντες gesagt. Sonst mit dem Akkusativ. Über solche Anomalien s. zu III 37 5. Auch hier wird übrigens ein abendländischer Aberglaube auf die schon damals als Zauberer verschrieenen Mager (vgl. zu c. 114 1) übertragen. Aesch. Ag. 1417 ἔθυσεν αὐτοῦ παῖδα, φιλτάτην ἐμοὶ Ὠδῖν', ἐπῳδὸν (placamen) θρηκίων ἀημάτων. Paus. II 12 (ἐν Τιτάνῃ) βωμός ἐστιν ἀνέμων, ἐφ' οὗ τοῖς ἀνέμοις ὁ ἱερεὺς μιᾷ νυκτὶ ἀνὰ πᾶν ἔτος θύει. δρᾷ δὲ καὶ ἄλλα ἀπόρρητα ἐς βόθρους τέσσαρας, ἡμερούμενος τῶν πνευμάτων τὸ ἄγριον, καὶ δὴ καὶ Μηδείας ὡς λέγουσιν ἐπῳδὰς ἐπᾴδει. Hesychios: ἀνεμοκοῖται, οἱ ἀνέμους κοιμίζοντες· γένος δὲ τοιοῦτον φασὶν ὑπάρχειν ἐν Κορίνθῳ. Der Arzt und Philosoph Empedokles rühmte sich der Kunst die Winde zu bannen und zu erregen (Vs. 26 ff.).

9. αὐτός, *sua sponte*. — ἐθέλων: in den Beschwichtigungsmitteln dagegen lag eine Nötigung. Übrigens hält in jenen Gegenden selbst ein Wintersturm in der Regel höchstens drei Tage an. Sprichwörtlich οὔ ποτε νυκτερινὸς βορέας τρίτον ἵκετο φέγγος (Arist. Probl. XXVI 9).

10 ff. Widerwillig, nur dem Götterbeschlusse folgend und unter heftigem Gegenringen ergab sich die Göttin dem Landeskönige, der, von Cheirons weisem Rate unterstützt, der am Meeresgestade sich ergehenden Herr geworden war; denn, wie der Meergott Proteus, wandelte sie sich ihm unter den Händen in erschreckliche Gestalten, unter an-

καταδραμόντες δευτέρῃ ἡμέρῃ, ἀπ' ἧς ὁ χειμὼν ὁ πρῶτος ἐγένετο, ἐσήμαινον πάντα τὰ γενόμενα περὶ τὴν ναυηγίην. οἱ δὲ ὡς ἐπύθοντο, Ποσειδέωνι σωτῆρι εὐξάμενοι καὶ σπονδὰς προχέαντες τὴν ταχίστην ὀπίσω ἠπείγοντο ἐπὶ τὸ Ἀρτεμίσιον, ἐλπίσαντες ὀλίγας τινὰς σφι ἀντιξόους ἔσεσθαι νέας. οἱ μὲν δὴ τὸ δεύτερον ἐλθόντες περὶ τὸ **193** Ἀρτεμίσιον ἐναυλόχεον, Ποσειδέωνος σωτῆρος ἐπωνυμίην ἀπὸ τούτου ἔτι καὶ ἐς τόδε νομίζοντες. οἱ δὲ βάρβαροι, ὡς ἐπαύσατό τε ὁ ἄνεμος καὶ τὸ κῦμα ἔστρωτο, κατασπάσαντες τὰς νέας ἔπλεον παρὰ τὴν ἤπειρον, κάμψαντες δὲ τὴν ἄκρην τῆς Μαγνησίης ἰθέαν ἔπλεον ἐς τὸν κόλπον τὸν ἐπὶ Παγασέων φέροντα. ἔστι δὲ χῶρος ἐν τῷ κόλπῳ τούτῳ τῆς Μαγνησίης, ἔνθα λέγεται τὸν Ἡρακλέα καταλειφθῆναι ὑπὸ Ἰήσονός τε καὶ τῶν συνεταίρων ἐκ τῆς Ἀργοῦς ἐπ' ὕδωρ πεμφθέντα, εὖτ' ἐπὶ τὸ κῶας ἔπλεον ἐς Αἶαν τὴν Κολχίδα· ἐνθεῦτεν γὰρ ἔμελλον ὑδρευσάμενοι ἐς τὸ πέλα-

deren in einen Tintenfisch (σηπία, davon die ἀκτὴ Σηπιάς).

192. 3. ἀπ' ἧς = ἀπὸ ταύτης τῆ (ἧ). — ὁ πρῶτος: vielmehr τὸ πρῶτον.

7. ὀλίγας τινάς 'gar wenige' (V 33 9).

193. 3. Man kannte sonst nur einen Ζεὺς σωτήρ. Der Nebensatz, dessen Inhalt sich weder auf das specielle Subjekt (οἱ μέν) noch auf die Zeit desselben bezieht, ist wohl erst später vom Autor nachgetragen.

5. κατασπάσαντες: s. c. 188 13.

6. ἄκρην, die Τισαία ἄκρη des Apollon. Rhod. α 568.

7. φέροντα, wenn man ihn nämlich von der Mündung bis in seinen Recefs bei Pagasä durchfährt.

8. Verb. χῶρος τῆς Μαγνησίης. Man setzt Aphetä auf den südwestlichen Ausläufer der Halbinsel. Der Anfang des pagasäischen Meerbusens ist zwischen den Vorgebirgen Tisaion und Poseidion anzunehmen.

9. Verbreiteter war die Sage, dafs Herakles an der Südküste der Propontis, als er seinen nach Wasser ausgeschickten und dabei von den Quellnymphen geraubten Liebling Hylas suchte, von der Argo abgekommen sei.

11. Vom Zusatze τὴν Κολχίδα zu I 2 9.

12 f. Verb. ἐνθεῦτεν ὑδρευσάμενοι. Offenbar ist die Sage erst aus dem Namen entsprungen, und da die erste Abfahrt von Pagasä aus stattgehabt, so war nun eine Ursache zu erfinden, weshalb die Argo hier anhielt. — ἀφήσειν, sc. τὴν Ἀργώ. Die Ausfahrt von Pagasä durch den engen Golf ist dem Autor noch keine eigentliche ἄφεσις, sondern erst der Auslauf in hohe See (πέλαγος). So umgeht er die mifsliche Annahme einer zweiten ἄφεσις (Hellanikos bei Steph. B. s. v.);

γος ἀφήσειν. ἐπὶ τούτου δὲ τῷ χώρῳ οὔνομα γέγονε Ἀφεταί. ἐν τούτῳ ὧν ὅρμον οἱ Ξέρξεω ἐποιεῦντο.

194 Πεντεκαίδεκα δὲ τῶν νεῶν τουτέων ἔτυχόν τε ὕσταται πολλὸν ἐξαναχθεῖσαι, καί κως κατεῖδον τὰς ἐπ' Ἀρτεμισίῳ τῶν Ἑλλήνων νέας. ἔδοξάν τε δὴ τὰς σφετέρας εἶναι οἱ βάρβαροι καὶ πλέοντες ἐσέπεσον ἐς τοὺς πολεμίους· τῶν ἐστρατήγεε ὁ ἀπὸ Κύμης τῆς Αἰολίδος ὕπαρχος Σανδώκης ὁ Θαμασίου, τὸν δὴ πρότερον τούτων βασιλεὺς Δαρεῖος ἐπ' αἰτίῃ τοιῇδε λαβὼν ἀνεσταύρωσε· ἐὼν τῶν βασιληίων δικαστέων ὁ Σανδώκης ἐπὶ χρήμασι ἄδικον δίκην ἐδίκασε. ἀνακρεμασθέντος ὦν αὐτοῦ, λογιζόμενος ὁ Δαρεῖος εὗρέ οἱ πλέω ἀγαθὰ τῶν ἁμαρτημάτων πεποιημένα ἐς οἶκον τὸν βασιλήιον· εὑρὼν δὲ τοῦτο ὁ Δαρεῖος, καὶ γνοὺς ὡς ταχύτερα αὐτὸς ἢ σοφώτερα ἐργασμένος εἴη, ἔλυσε. βασιλέα μὲν δὴ Δαρεῖον οὕτω διαφυγὼν μὴ ἀπολέσθαι περιῆν, τότε δὲ ἐς τοὺς Ἕλληνας καταπλώσας ἔμελλε οὐ τὸ δεύτερον διαφυγὼν περιέσεσθαι· ὡς γὰρ σφέας εἶδον προσπλέοντας οἱ Ἕλληνες, μαθόντες αὐτῶν τὴν γινομένην ἁμαρτάδα, ἐπαναχθέντες εὐπετέως σφέας εἷλον.

195 ἐν τουτέων μιῇ Ἀρίδωλις πλέων ἦλω, τύραννος Ἀλαβάνδων τῶν ἐν Καρίῃ, ἐν ἑτέρῃ δὲ ὁ Πάφιος στρατη-

denn vor dem Irrtum des Strabon p. 436 *πλησίον δὲ (τῶν Παγασῶν) καὶ Ἀφεταὶ ὡς ἂν ἀφετήριόν τι τῶν Ἀργοναυτῶν* bewahrte ihn seine Ortskenntnis. Dem Etymon zu Liebe ist die aspirierte Form (statt *ἀπήσειν*) beibehalten.

14. *ὅρμον ἐποιεῦντο = ὥρμιζον.* Theokr. XIII 30 *ὅρμον ἔθεντο.*

194. 2. *κως κατεῖδον = ἔτυχον κατιδοῦσαι.* S. zu V 41 5.

5. *τῶν*, sc. *βαρβάρων*. Vgl. c. 57 11. — Kyme scheint damals die Hauptstadt der ionischen Satrapie gewesen zu sein, zu der auch Aolis gehörte (III 90 2). Vgl. zum Ausdruck III 126 *Μιτροβάτεα τὸν ἐκ Δασκυλείου ὕπαρχον*, VI 33 *τῷ ἐν Δασκυλείῳ ὑπάρχῳ.*

7. Eine auch im Vortrag ähnliche Anekdote von König Kambyses V 25.

10. S. I 137. — *οἱ = ὑπ' αὐτοῦ.*

11. Vgl. V 31 17.

13. *αὐτός* ist zugefügt, um die Beziehung auf Sandokes zu verhüten, wie I 48 8. — *ταχύτερα ἢ σοφώτερα*, wie III 65 11.

14. *μή*: vgl. c. 11 3.

16. Der Fall ist dem Vf. ein Beleg für den III 43 3 u. s. ausgesprochenen Schicksalsglauben.

18. *σφέας*, sc. *τὰς νέας*; zu c. 8 *γ* 8.

195. *Ἀλάβανδα*, am oberen Marsyas, südlich vom Mäander (V 118 4). Bedeutende Ruinen bei Arabhissar.

γὸς Πενθύλος ὁ Δημονόου, ὃς ἦγε μὲν δυώδεκα νέας ἐκ Πάφου, ἀποβαλὼν δὲ σφέων τὰς ἕνδεκα τῷ χειμῶνι τῷ γενομένῳ κατὰ Σηπιάδα, μιῇ τῇ περιγενομένῃ καταπλέων ἐπ' Ἀρτεμίσιον ἦλω. τούτους οἱ Ἕλληνες ἐξιστορήσαντες τὰ ἐβούλοντο πυθέσθαι ἀπὸ τῆς Ξέρξεω στρατιῆς, ἀποπέμπουσι δεδεμένους ἐς τὸν Κορινθίων ἰσθμόν.

196 Ὁ μὲν δὴ ναυτικὸς ὁ τῶν βαρβάρων στρατός, πάρεξ τῶν πεντεκαίδεκα νεῶν τῶν εἶπον Σανδώκεα στρατηγέειν, ἀπίκοντο ἐς Ἀφετάς. Ξέρξης δὲ καὶ ὁ πεζὸς πορευθεὶς διὰ Θεσσαλίης καὶ Ἀχαιίης ἐσβεβληκὼς ἦν καὶ δὴ τριταῖος ἐς Μηλιέας, ἐν Θεσσαλίῃ μὲν ἁμιλλαν ποιησάμενος ἵππων, τῆς ⟨τε⟩ ἑωυτοῦ ἀποπειρώμενος καὶ τῆς Θεσσαλῆς ἵππου, πυθόμενος ὡς ἀρίστη εἴη τῶν ἐν Ἕλλησι· ἔνθα δὴ αἱ Ἑλληνίδες ἵπποι ἐλείποντο πολλόν. τῶν μέν νυν ἐν Θεσσαλίῃ ποταμῶν Ὀνόχωνος μοῦνος οὐκ ἀπέχρησε τῇ στρατιῇ τὸ ῥέεθρον πινόμενος· τῶν δὲ ἐν Ἀχαιίῃ ποταμῶν ῥεόντων οὐδὲ ὅστις μέγιστος αὐτῶν ἐστι Ἠπιδανός, οὐδὲ οὗτος ἀντέσχε εἰ μὴ φλαύρως.

3. *ἦγε*, eigentlich *ἤγαγε*. Ebenso V 43 8. S. über solche Imperfekte in Nebensätzen zu I 66 19.

7. *ἀπό*, wie c. 168 1.

9. *ἰσθμόν*: zu c. 145 2.

Xerxes in Thessalien und Achaiia; Episode von den Athamantiden in Alos. Terrain um Thermopylä (c. 196 bis 201).

196. Zum wiederholten Artikel vgl. VI 46 10.

4. *Θεσσαλίης*, in dem zu c. 132 2 bemerkten engeren Sinne.

5. *καὶ δὴ = ἤδη* (IV 102 3). — *τριταῖος* 'seit drei Tagen'. — *μέν*: entsprechend c. 197 1 *ἐς Ἅλον δέ.*

7. Ein Orakel bei Schol. Il. *β* 761 stellt zusammen *ἵππον Θεσσαλικὴν Λακεδαιμονίαν τε γυναῖκα Ἄνδρας θ' οἳ πίνουσ' ἱερὰν πηγὴν Ἀρεθοΐσης.* Auf den Münzen der thessalischen Städte sieht man in der Regel ein Roſs. Vgl. auch die in Thessalien heimische Kentaurensage.

9. *Ὀνόχωνος*: zu c. 129 11. — *τῶν – ποταμῶν*, doch wohl nur der oben c. 129 11 genannten.

10. Verb. *ἀπέχρησε τὸ ῥέεθρον* (c. 43 4. 58 13).

11. *ὅστις* st. *ὅς* (IV 8 4).

12. *αὐτῶν*, überflüssig (c. 147 8). Ebenso gleich c. 197 3 *οἱ*. — Der *Ἠπιδανός* oder *Ἀπιδανός* (c. 129 11, vgl. zu VIII 137 5) entspringt auf dem Othrys, ebenso der *Ἐνιπεύς* (auch *Ἑλιπεύς*), mit dem er sich am Eingange zur thessalischen Ebene, bei Pharsalos, vereinigt und dann in den Peneios fällt. Der ver-

197 *Ἐς Ἅλον δὲ τῆς Ἀχαιίης ἀπικομένῳ Ξέρξῃ οἱ κατηγεμόνες τῆς ὁδοῦ βουλόμενοι τὸ πᾶν ἐξηγέεσθαι ἔλεγόν οἱ ἐπιχώριον λόγον, τὰ περὶ τὸ ἱρὸν τοῦ Λαφυστίου Διός, ὡς Ἀθάμας ὁ Αἰόλου ἐμηχανήσατο Φρίξῳ*

einigte Flufs, heute Sataldsche-Potamos oder Flufs von Phersala, heifst bei den Alten bald nach dem einen bald nach dem anderen Quellarme. Von diesen scheint der westlichere, der heutige Sophaditiko, der wasserreichere zu sein und darum, nach H.'s Meinung, für den Apidanos, der östliche aber, der heutige Sataldsche-Potamos oder Phersaliti, für den Enipeus angesehen werden zu müssen; und da H. den Lauf des ersteren auf Achaiia beschränkt, so hiefs ihm auch der Gesamtflufs, wie noch heute, nach dem rechten Arme (Enipeus). Thuk. IV 78 dagegen, Strabon p. 432 und eine Inschrift von Melitäa (Ussing Inscr. gr. II 7) nennen den westlichen Flufs Enipeus.

197. 1. *Ἅλος*, auch (ὁ oder ἡ) *Ἄλος*, uralter Ort (Il. *β* 682 myrmidonisch), am nordöstlichen Fufse des Othrys, am Flusse Amphrysos, unfern dem pagasäischen Meerbusen (c. 173 5), angeblich eine Gründung des Athamas (Strab. p. 433). Zog Xerxes, wie anzunehmen, mit einem Teile des Heeres die Strafse über Larisa, Pherä, Thebä, Itonos nach Antikyra, so brauchte er von Itonos aus nur 60 Stadien weit links abzubiegen, um den interessanten Ort zu erreichen (Strab. a. O.).

2. *τὸ πᾶν*: zu c. 50 3.

3. *ἐπιχώριον λόγον* 'Ortssage'. Sie weicht, bis auf die Einmischung der Ino und den Namen des Kytissoros, von der durch Dichter und Sagenschreiber vielfach veränderten und erweiterten orchomenischen Athamas-Sage gänzlich ab, und läfst die einfachen Grundzüge weit deutlicher erkennen. Nämlich der blutige Dienst des Zeus Laphystios sowie die daran geknüpfte Sage von Athamas und seinem Kindesopfer sind dem alten vorhellenischen Stamme der Minyer eigentümlich, und finden sich an den beiden Hauptsitzen desselben, beim böotischen Orchomenos und im südöstlichen Thessalien am pagasäischen Meerbusen (Iolkos) fixiert. Eine halbe Meile von Koroneia stand auf dem *ὄρος Λαφύστιον* das Heiligtum und die Bildsäule des Gottes, und lebte noch im 2. christlichen Jahrhundert die Sage, dafs hier Phrixos auf dem Widder dem nahen Opfertode entronnen sei (Paus. IX 34 4); ein *πεδίον Ἀθαμάντιον* zeigte man in beiden Landschaften (id. IX 24 1. Schol. Apoll. Rh. *β* 513). Der Zeus *Λαφύστιος*, der 'Würggott' (von der W. *λαφ-* 'würgen, schlingen', in *λαφύσσειν*, hom. *λάε* und *λάων, λέων, λάπτειν, λάβρος, λάρος, ἀπολαύειν* u. a., vgl. *Ἄρτεμις Λαφρία* Paus. VII 18 12), hatte, wie der Jehovah des Alten Testaments, der Moloch und Melkart der Phöniken, Anrecht auf alle Erstgeburt. Und so lastete die Pflicht, den jedesmaligen Erstgeborenen zu opfern, noch fortwährend auf dem Hause der Athamantiden, das den Dienst des Gottes als ein *sacrum gentile* überkommen hatte. Aber man hatte Mittel und Wege gefunden die Vollziehung zu umgehen und durch ein symbolisches Widderopfer zu ersetzen; nur mufste der Betroffene wie im Gottesbann fortan die Heimat fliehen (vgl. das italische *ver sacrum*). Den Ursprung nun dieses alten Sacralrechtes erklärt die Tempelsage von Alos.

4. *Φρίξῳ*: eine Schwester *Ἕλλη* war der älteren Tradition fremd.

μόρον σὺν Ἰνοῖ βουλεύσας, μετέπειτα δὲ ὡς ἐκ θεοπροπίου Ἀχαιοὶ προτιθεῖσι τοῖσι ἐκείνου ἀπογόνοισι ἀέθλους τοιούσδε· ὃς ἂν ἦ τοῦ γένεος τούτου πρεσβύτατος, τούτῳ ἐπιτάξαντες ἔργεσθαι τοῦ λητίου αὐτοὶ φυλακὰς ἔχουσι. λήιτον δὲ καλέουσι τὸ πρυτανήιον οἱ Ἀχαιοί. ἢν δὲ ἐσέλθῃ, οὐκ ἔστι ὅκως ἔξεισι πρὶν ἢ θύσεσθαι μέλλῃ· ὥς τ' ἔτι πρὸς τούτοισι πολλοὶ ἤδη

5. Hier tritt noch Athamas als der Hauptschuldige auf. In der poetisierten Sagenform ist es Ino, die böse Stiefmutter, die durch Dörren (*φρύγειν*) des Saatkorns eine Hungersnot erzeugt und dann das nachgesuchte Orakel dahin fälscht, dafs der Nephele Kinder als Sühnopfer fallen sollen. In beiden Weisen aber hat ein scheuer frommer Sinn den Anlafs des Greuels vom Gotte weg auf menschliche Bosheit abgelenkt. Vgl. zu Z. 18. — *μετέπειτα*, sc. *ἔλεγον*.

7. *ἄεθλος* bezeichnet sonst immer eine positive Aufgabe des Strebens und Ringens (vgl. I 126 16. IV 10 12), und eine solche ist auch hier, wenn auch zunächst nur ein Verbot berichtet wird, den Andeutungen des Zusammenhangs zu entnehmen; s. unten zu 10. — *τοῦ γένεος τούτου*, das als vereinzelter ehrwürdiger Rest der einstigen Bevölkerung noch im Lande safs, in Besitz und Pflege des alten Kultes und im fortdauernden Genusse des damit verbundenen Tempelgutes (*τέμενος* 25). — Bei *ἦ* fehlt wohl *αἰεί*. — *πρεσβύτατος*: darum heifst ein Sohn des Phrixos *Πρέσβων* (Paus. IX 34 8. Schol. Apollon. *β* 1122).

9. *λήιτον* = *δημόσιον*, von *λεώς, ληός*, 'Leuthaus'. Davon *λειτουργία* (*λητουργία*), *munus publicum*.

10. *ἢν δὲ ἐσέλθῃ*: leider erfahren wir nicht was den Opferbedrohten antrieb zu dem gefährlichen Wagnis, und wie es ward, wenn es ihm gelang. Wahrscheinlich wollte der Vf. sagen *ἢν δὲ ἐσελθὼν* oder noch genauer *ἐσερχόμενος ἁλίσκηται* (14). Auch sonst leidet hier sein Vortrag an Unklarheit. Der ganze dem jedesmaligen Erstgeborenen aufgelegte Brauch ist wohl so zu denken. Er mufste, wenn er volljährig war, in das Gemeindehaus sich einzuschleichen, d. i. sein Anrecht am Gemeindeverbande geltend zu machen suchen. Gelang ihm dies, so war der *ἆθλος* erfüllt. Ward er aber dabei ergriffen, so wurde er, gleichsam zur Strafe seines Unterfangens, so lange im Prytaneion gehalten, bis das Fest des Gottes wiederkehrte und man ihn zum Altare führte. Vorher schon oder doch auf diesem Gange (*μελλόντων θύσεσθαι*) erhielt er Gelegenheit zu entkommen, und an seine Stelle trat der Widder. Nur mufste er von da ab seine Heimat meiden; kehrte er doch zurück und liefs sich im Prytaneion ertappen, so lebte sein einstiges Verhältnis zum Gemeinwesen und damit der alte auf ihm ruhende Bann wieder auf, und die Ceremonie mufste wiederholt werden. Einigemale jedoch ist das Opfer, zumal bei grofsen Kalamitäten, wirklich vollzogen worden, und zwar, wie zuerst bei Athamas, durch den Ältesten des Hauses als den Inhaber der Priesterwürde. Platon Min. 315 *ἡμῖν μὲν οὐ νόμος ἐστὶν ἀνθρώπους θύειν ἀλλ' ἀνόσιον, Καρχηδόνιοι δὲ θύουσιν ὡς ὅσιον ὂν καὶ νόμιμον αὐτοῖς, καὶ ταῦτα ἔνιοι αὐτῶν καὶ τοὺς αὑτῶν υἱεῖς τῷ Κρόνῳ. καὶ*

τούτων τῶν μελλόντων θύσεσθαι δείσαντες οἴχοντο ἀποδράντες ἐς ἄλλην χώρην, χρόνου δὲ προϊόντος ὀπίσω κατελθόντες ἦν ἁλίσκωνται ἐστέλλοντο ἐς τὸ πρυτανήιον· ὡς θύεταί τε [ἐξηγέοντο] στέμμασι πᾶς πυκασθεὶς καὶ ὡς σὺν πομπῇ ἐξαχθείς. ταῦτα δὲ πάσχουσι οἱ Κυτισσώρου τοῦ Φρίξου παιδὸς ἀπόγονοι, διότι καθαρμὸν τῆς χώρης ποιευμένων Ἀχαιῶν ἐκ θεοπροπίου Ἀθάμαντα τὸν Αἰόλου καὶ μελλόντων μιν θύειν ἀπιμὴ ὅτι βάρβαροι ἄνθρωποι ἡμῶν ἄλλοις νόμοις χρῶνται, ἀλλὰ καὶ οἱ ἐν τῇ Δυκαίᾳ οὗτοι καὶ οἱ τοῦ Ἀθάμαντος ἔκγονοι οἵας θυσίας θύουσιν Ἕλληνες ὄντες. Eine ähnliche Verpflichtung trug eine ebenfalls minyeische Familie im böotischen Orchomenos; jährlich am Feste der Ἀγριώνια verfolgte der Priester des Dionysos (*Λαφύστιος*) mit einem Schwerte eine Jungfrau dieses Geschlechtes, und es kam vor, dafs er sie tötete (Plut. mor. 299). — *πρὶν – μέλλῃ*: zu c. 54 8.

12 f. *τούτων τῶν μ. θ.*, gewifs nicht blofs der Ertappten, sondern überhaupt der Erstgeborenen, noch vor dem Versuche ins Prytaneion einzudringen. — *θύσεσθαι*, fut. pass. — *ὥς τ'*, parallel zu *μετέπειτα δὲ ὡς* (5), sc. *ἔλεγον* (2), worauf auch *ἔτι πρὸς τούτοισι* zu beziehen. Natürlicher wäre *ἔτι δὲ πρὸς τούτοισι* (*ἔλεγον*) *ὡς*. Die Amphibolie in *ὥς τ'* ist nicht anstöfsiger als c. 11 4 *καί τοι*, c. 149 6 *μὴ δέ*, 158 11 *τό τε*, IX 13 13 *εἴ τε*, III 155 14 *μέν τοι*. Auch I 86 28 steht *ὥς τε*.

14. *ἁλίσκωνται*, sc. *κατελθόντες*. — *ἐστέλλοντο, deducebantur*, um von da die Ceremonie aufs neue zu beginnen.

15 f. *ὡς – ἐξαχθείς* hätte eigentlich schon Z. 11 nach *θύσεσθαι μέλλῃ* gesagt sein sollen. Die eingefügte Bemerkung von den Flüchtigen (*τούτων τῶν μελλόντων θύσεσθαι*, anknüpfend an *θύσεσθαι μέλλῃ*) bewirkte den Aufschub. Bei der jetzigen Folge entsteht der Schein, als hätte der Opferungsgebrauch nur bei diesen letzteren stattgehabt, ganz gegen die Absicht des Vf., wie der an das Frühere sich anschliefsende Numerus (*θύεται*) und das Präsens noch anzeigen. — *πᾶς*, am ganzen Körper. Diese Umhüllung mit Wollbinden mochte auf den Widder deuten. — Statt oder nach *ἐξαχθείς* erwartet man ein verbum finitum, parallel zu *θύεται*. Die Anakoluthie liegt aber vielmehr im zweiten *ὡς*, zu dem sich der Autor durch das hinter *θύεται* gestellte aber eigentlich zu *στέμμασι πᾶς πυκασθείς* (nämlich *στέμμασί τε π. πυκ. καὶ σὺν π. ἐ.*) gehörige *τε* hat verleiten lassen. Von ähnlichen Wirren bei dieser Partikel zu I 207 35. II 116 9. IV 148 7. V 62 17.

17. Bei Hesiod in den Eöen hat Phrixos mit Iophossa, der Tochter des Äetes, zu dem er geflüchtet, vier Söhne: Argos, Phrontis, Melas, Kytisoros (Schol. Apollon. *β* 1122).

18. *καθαρμός*, 'Sühn- und Reinigungsopfer', wie zu Athen jährlich beim Feste der Thargelien ein todeswürdiges Menschenpaar zur Entsühnung der Einwohnerschaft (als *φαρμακοί*) geopfert wurde. Dafs Athamas selber das Opfer sein soll, ist ein dieser Lokalsage eigentümlicher Zug, den Sophokles in seinem Ἀθάμας στεφανηφόρος

κόμενος οὗτος ὁ Κυτίσσωρος ἐξ Αἴης τῆς Κολχίδος ἐρρύσατο, ποιήσας δὲ τοῦτο τοῖσι ἐπιγενομένοισι ἐξ ἑωυτοῦ μῆνιν τοῦ θεοῦ ἐνέβαλε. Ξέρξης δὲ ταῦτα ἀκούσας ὡς κατὰ τὸ ἄλσος ἐγίνετο, αὐτός τε ἔργετο αὐτοῦ καὶ τῇ στρατιῇ πάσῃ παρήγγειλε, τῶν τε Ἀθάμαντος ἀπογόνων τὴν οἰκίην ὁμοίως καὶ τὸ τέμενος ἐσέβετο.

Ταῦτα μὲν τὰ ἐν Θεσσαλίῃ καὶ τὰ ἐν Ἀχαιίῃ· ἀπὸ δὲ τούτων τῶν χώρων ἤιε ἐς τὴν Μηλίδα παρὰ κόλπον θαλάσσης, ἐν τῷ ἄμπωτίς τε καὶ ῥηχίη ἀνὰ πᾶσαν ἡμέρην γίνεται. περὶ δὲ τὸν κόλπον τοῦτον ἐστὶ χῶρος πεδινός, τῇ μὲν εὐρὺς τῇ δὲ καὶ κάρτα στεινός· περὶ δὲ τὸν χῶρον ὄρεα ὑψηλὰ καὶ ἄβατα περικληίει

zu einem Drama verarbeitet hat. Als Grund ist eine Seuche oder sonst eine Landesplage zu denken, die der seines Opfers beraubte Gott gesendet hatte; denn da auch der es vertretende Athamas dem Tode entrissen wird, fällt der Zorn auf das ganze Geschlecht des Retters (22). Daraus folgt aber dafs, was oben 4 von Ränken der Eltern gegen Phrixos gesagt ist, dieser Sage ursprünglich fremd war und ein aus dem Epos eingeflossenes Motiv ist. Sophokles, der es festhielt, liefs darum den Vater zur Strafe für sein Vergehen an den Altar führen (Schol. Arist. Nub. 257) und, um jeden Anklang an die schaudervolle Legende fernzuhalten, nicht Kytissoros sondern Herakles als Retter auftreten. In der gemeinen Sage gerät Athamas, nach der Flucht des Phrixos, in Raserei, die sich zunächst gegen Ino und ihre Söhne Learchos und Melikertes richtet, und lebt dann, wie Bellerophon, seiner Schwermut auf dem entlegenen athamantischen Gefilde. — Ἀχαιῶν, d. h. der alten Landesbewohner, die für die Zeit des Mythos Minyer zu nennen waren.

20. *Κύταια* od. *Κύτα* hiefs die Stadt des Äetes. Die Heimkehr des Kytissoros ist eine der Legende nötige Aushilfe, um das Geschlecht an den kinderlos gewordenen Athamas wieder anzuknüpfen.

23. *τὸ ἄλσος*, des oben Z. 3 erwähnten Heiligtums.

198. 3 f. *ἄμπωτις – γίνεται*: mit denselben Worten II 11 vom arabischen Mb. Ebbe und Flut sind im Mittelmeere selten und gering; um so bemerkenswerther war die Ausnahme. Im nahen Euripos, zumal in der nördlichen Hälfte, ist das Phänomen bei Voll- und Neumond besonders stark und regelmäfsig (von sechs zu sechs Stunden) und verursacht einen entsprechenden Wechsel in der Strömung dieser Meerenge (Ulrichs N. Rh. Mus. V 486).

5. *πεδινός*, Marsch und Sumpfboden. Es sind Alluvionen der jetzt noch fortwährend arbeitenden Küstenflüsse. — *τῇ δέ*, im Südosten, bei den Thermopylen (c. 176).

6 f. *περικληίει*, verkürzt st. *ἐστὶ* (wie 4) *περικληίοντα*. Die Bucht wird eingeschlossen von einem bald schmaleren, bald breiteren Streifen ebenen Landes, dieses Land aber wiederum wird umgürtet von hohen

πᾶσαν τὴν Μηλίδα γῆν, Τρηχίνιαι πέτραι καλεόμεναι. πρώτη μέν νυν πόλις ἐστὶ ἐν τῷ κόλπῳ ἰόντι ἀπὸ Ἀχαιίης Ἀντικύρη, παρ' ἣν Σπερχειὸς ποταμὸς ῥέων ἐξ Ἐνιήνων ἐς Θάλασσαν ἐκδιδοῖ. ἀπὸ δὲ τούτου διὰ εἴκοσί κου σταδίων ἄλλος ποταμὸς τῷ οὔνομα κεῖται Δύρας, τὸν βοηθέοντα τῷ Ἡρακλέι καιομένῳ λόγος ἐστὶ ἀναφανῆναι. ἀπὸ δὲ τούτου δι' ἄλλων εἴκοσι στα-
199 δίων ἄλλος ποταμός ἐστι ὃς καλέεται Μέλας. Τρηχὶς δὲ πόλις ἀπὸ τοῦ Μέλανος τούτου ποταμοῦ πέντε στά-

Gebirgen, die zugleich die Grenze des malischen Gebietes bilden; dies Gebiet aber ist eben jener Küstenstreif mit den anliegenden Höhen. — *Τρηχίνιαι πέτραι*, nach der alten Stadt *Τρηχίς*. Strab. p. 428 *ὑψηλότατον δὲ κατὰ τὰς Θερμοπύλας (Οἴτη ὄρος). κορυφοῦται γὰρ ἐνταῦθα καὶ τελευτᾷ πρὸς ὀξεῖς καὶ ἀποτόμους μέχρι τῆς θαλάττης κρημνούς .. τὸ δὲ ὑπερκείμενον ὄρος Καλλίδρομον (καλοῦσι)*.

8. *πρώτη*: die Stadt Lamia soll also noch zu Achaiia gehören.

10. *ἐξ Ἐνιήνων*: zu c. 132 2. Strab. p. 433 *τοῦ δὲ Σπερχειοῦ τὰς πηγὰς ἔχοντος ἐκ Τυφρηστοῦ Δρυοπικοῦ ὄρους*. — 'Von der Brücke (über den Spercheios) bis an den Fuſs des Öta ist nur ein halbes Stündchen, aber diese Fläche ist durch zahlreiche Wasserläufe und zum Teil lauwarme Quellen so sehr versumpft und der ehemalige Straſsendamm so zerfallen, daſs wir uns nur mit Mühe durchwanden. Diese Wasserwirre macht es unmöglich über die hier zu suchenden Flüſschen oder Bäche Dyras und Melas ins Reine zu kommen. Da wo man den Fuſs des Öta erreicht, liegt rechts ziemlich hoch am Gebirge hinauf das Dorf Damaste, und westwärts von demselben die Ruinen von Herakleia oder Trachis. Leicht erkennt man neben Damaste die Schlucht Anopäa (c. 216), welche sich hier am Öta hinauf und hinter dem zunächst über den Thermopylen gelegenen Gipfel herumzieht ... Der Weg läuft von hier südöstlich längs dem Fuſse des Berges hin und kreuzt nach einer Viertelstunde das geräumige Bett eines vom Gebirge kommenden Baches ... Fünfzehn Minuten jenseit des Baches bleibt dann nur ein schmaler Streifen Landes zwischen der jäh emporsteigenden Bergwand und der alten Meeresküste. Dies ist der berühmte Paſs der Thermopylen.' Roſs Königsreisen I 89.

12. Wahrscheinlich sammelten sich im Dyras die dort sprudelnden Thermen, die, mit dem hier lokalisierten Mythos vom Feuertode des Herakles in Verbindung gebracht, eine anmutige Erklärung fanden. Vgl. zu c. 176 17. Heute flieſsen alle diese Bäche nicht mehr ins Meer, sondern in den Spercheios, der, infolge der Alluvionen, sein Bette südostwärts der Küste entlang erweitert hat und erst jenseits der Thermopylen mündet. — *καιομένῳ*, auf dem Öta, wo er sich den Scheiterhaufen errichtete.

199. *Τρηχίς*, att. *Τραχίς* oder *Τραχίν*, hoch über der Ebene auf einem Absturz des Gebirges. Im J. 426 wurde sie sechs Stadien südlicher, auf der linken Seite der Asoposschlucht (7), unter spartiatischer Leitung neugegründet und hieſs von

δια ἀπέχει. ταύτῃ δὲ καὶ εὐρύτατον ἐστὶ πάσης τῆς χώρης ταύτης ἐκ τῶν ὀρέων ἐς Θάλασσαν, κατ' ἃ Τρηχὶς πεπόλισται· δισχίλιά τε γὰρ καὶ δισμύρια πλέθρα τοῦ πεδίου ἐστί. τοῦ δὲ ὄρεος τὸ περικληίει τὴν γῆν τὴν Τρηχινίην ἐστὶ διασφὰξ πρὸς μεσαμβρίην Τρηχῖνος, διὰ δὲ τῆς διασφάγος Ἀσωπὸς ποταμὸς ῥέει παρὰ τὴν ὑπωρέην τοῦ ὄρεος. | ἔστι δὲ ἄλλος Φοῖνιξ **200** ποταμὸς οὐ μέγας πρὸς μεσαμβρίην τοῦ Ἀσωποῦ, ὃς ἐκ τῶν ὀρέων τούτων ῥέων ἐς τὸν Ἀσωπὸν ἐκδιδοῖ. κατὰ δὲ τὸν Φοίνικα ποταμὸν στεινότατον ἐστί· ἁμαξιτὸς γὰρ μούνη δέδμηται. ἀπὶ δὲ τοῦ Φοίνικος ποταμοῦ πεντεκαίδεκα στάδια ἐστὶ ἐς Θερμοπύλας. ἐν δὲ τῷ μεταξὺ Φοινικός ⟨τε⟩ ποταμοῦ καὶ Θερμοπυλέων κώμη τε ἐστὶ τῇ οὔνομα Ἀνθήλη κεῖται, παρ' ἣν δὴ παραρρέων ὁ Ἀσωπὸς ἐς Θάλασσαν ἐκδιδοῖ, καὶ χῶρος

da ab *Ἡράκλεια* (Thuk. III 92. Strab. p. 428).

3. *καὶ εὐρύτατον* 'wohl die breiteste Stelle (IV 86 10).

4. *κατ' ἃ* 'in deren Nähe', näml. der *ὄρεα*.

5 f. *πλέθρα*, hier Flächenmaſse, 'Morgen', von je 10000 Q. F.; im Ganzen also etwa $^3/_5$ d. Q. M. Das *πεδίον* bezeichnet wahrscheinlich die Feldmark von Trachis, vom Melas bis zur ersten Enge (c. 200 4). Dabei ist, wie bei den übrigen Punkten, der sumpfige Küstenraum als unpassierbar nicht zur Ebene gerechnet. Da der König hier sein Lager aufschlug (c. 201 2), so schien die Angabe des Flächeninhaltes wichtiger als die des Breitendurchschnittes, die man nach *εὐρύτατον* erwarten durfte.

7. Strabon a. O. citiert *βαθεῖα διασφάξ*. — *πρὸς μεσαμβρίην*: zu c. 176 15.

8. Der Asopos, ein reiſsender Bergstrom, kreuzte kurz nach seinem Austritt aus der Schlucht die Straſse, die sich immer am Fuſse der Felsen hält, floſs dann dem Gebirgszuge parallel (*παρὰ τὴν ὑπωρέην*) durch den Küstensumpf, nahm gleich hinter der ersten Enge den Phönix auf (c. 200 3), und mündete dann noch diesseits der Thermopylen.

200. Der Phönix soll schwefelhaltig sein und seine Ränder mit einem rötlichen Niederschlage überziehen; daher wohl der Name.

4. War man durch die Ebene an Trachis vorbei über den Asopos gekommen, so passierte man die erste Enge, dann gleich den die Straſse schneidenden und links zum Asopos hinabflieſsenden Phönix, darauf traten beim Dorf Anthele die Felsen etwas zurück und lieſsen eine Küstenbucht (*χῶρος εὐρύς*) frei, durch welche die Thermen strömten, nach welchen die östlich folgende Enge benannt war. Vgl. c. 176.

5. *δέδμηται*: es ist ein aufgeschütteter und chaussierter Dammweg, der noch heute benutzt wird. Vgl. II 124 14. Anders *ὁδὸς τετμημένη* (zu IV 136 9).

περὶ αὐτὴν εὐρύς, ἐν τῷ Δήμητρός τε ἱρὸν Ἀμφικτυονίδος ἵδρυται καὶ ἕδραι εἰσὶ Ἀμφικτύοσι καὶ αὐτοῦ τοῦ Ἀμφι-
201 κτύονος ἱρόν. βασιλεὺς μὲν δὴ Ξέρξης ἐστρατοπεδεύετο τῆς Μηλίδος ἐν τῇ Τρηχινίῃ, οἱ δὲ [δὴ] Ἕλληνες ἐν τῇ διόδῳ. καλέεται δὲ ὁ χῶρος οὗτος ὑπὸ μὲν τῶν πλεόνων Ἑλλήνων Θερμοπύλαι, ὑπὸ δὲ τῶν ἐπιχωρίων καὶ περιοί-
κων Πύλαι. ἐστρατοπεδεύοντο μέν νυν ἑκάτεροι ἐν τούτοισι τοῖσι χωρίοισι, ἐπεκράτεε δὲ ὁ μὲν τῶν πρὸς βορέην ἄνεμον ἐχόντων πάντων μέχρι Τρηχῖνος, οἱ δὲ τῶν πρὸς νότον καὶ μεσαμβρίην φερόντων τὸ ἐπὶ ταύτης τῆς ἠπείρου.

202 Ἦσαν δὲ οἵδε Ἑλλήνων οἱ ὑπομένοντες τὸν Πέρσην ἐν τούτῳ τῷ χώρῳ, Σπαρτιητέων τε τριηκόσιοι ὁπλῖται καὶ Τεγεητέων καὶ Μαντινέων χίλιοι, ἡμίσεες ἑκατέρων, ἐξ Ὀρχομενοῦ τε τῆς Ἀρκαδίης εἴκοσι καὶ ἑκατόν, καὶ ἐκ τῆς λοιπῆς Ἀρκαδίης χίλιοι· τοσοῦτοι μὲν Ἀρκάδων, ἀπὸ δὲ Κορίνθου τετρακόσιοι καὶ ἀπὸ Φλειοῦντος δι-

10. εὐρύς: Liv. XXXVI 16 *consul (M' Acilius Glabrio) in ipsis faucibus prope fontes calidarum aquarum adversus regem (Antiochum) castra posuit.*

11. Vgl. c. 213 8.

201. 2. *ἐν τῇ διόδῳ*, in dem Raume zwischen den beiden ἔσοδοι, der eben auch *Θερμοπύλαι* hiefs (c. 176 9), und zwar mit dem Lager hinter der restaurierten Schanze (c. 176 18. 208 8); vor derselben stand die Vorhut über die westliche Enge hinaus. Die unten beschriebenen dreitägigen Kämpfe galten zunächst dieser westlichen durch die Phönixschlucht gedeckten Enge (c. 211 7 und 18. 223 9 ff. 225 8 ff.) und wogten zwischen dem Asopos und der Schanze vor und zurück.

7 ff. *βορέην ἄνεμον*, richtiger ἑσπέρην, wie gleich *πρὸς ἠῶ τε καὶ ἀπηλιώτην*; zu c. 176 12. — *ἐχόντων* und *φερόντων*, variierte Ausdrücke für denselben Begriff, *pertinere, spectare*. Ebenso I 180 11 u. 14. — *μέχρι*: vielmehr *ἀπό*. — Vom Doppelausdruck *νότον καὶ μεσαμβρίην* zu I 201 4. — *τὸ ἐπὶ ταύτης τῆς ἠπείρου, hanc continentem* (sc. *Graeciam*) *versus*, adverbialer Ausdruck (zu IV 99 1), anzuschliefsen an *φερόντων* (vgl. c. 193 7), fügt zu der Himmelsrichtung auch noch die geographische.

Vom hellenischen Heere und von Leonidas (c. 202—207). Persischer Späher. Gespräch des Xerxes und Demaratos (c. 208 f.).

202. 2. Ephoros (Diodor XI 4) fügt noch 1000 lakonische Periöken hinzu, um die Gesamtzahl der Peloponnesier mit c. 228 6 auszugleichen.

3. *ἡμίσεες ἑκατέρων*: für eine nähere Verbindung der beiden Städte folgt daraus nichts. Sie lagen aber in einer abgeschlossenen Hochebene (von Tripolitza, I 66 12) zusammen.

κόσιοι καὶ Μυκηναίων ὀγδώκοντα. οὗτοι μὲν ἀπὸ Πελοποννήσου παρῆσαν, ἀπὸ δὲ Βοιωτῶν Θεσπιέων τε ἑπτακόσιοι καὶ Θηβαίων τετρακόσιοι. πρός ⟨τε⟩ τούτοισι **203**
ἐπίκλητοι ἐγένοντο Λοκροί τε οἱ Ὀπούντιοι πανστρατιῇ καὶ Φωκέων χίλιοι. αὐτόθεν γὰρ σφέας οἱ Ἕλληνες ἐπεκαλέσαντο, λέγοντες δι' ἀγγέλων ὡς αὐτοὶ μὲν ἥκοιεν πρόδρομοι τῶν ἄλλων, οἱ δὲ λοιποὶ τῶν συμμάχων προσδόκιμοι πᾶσαν εἶεν ἡμέρην, ἡ θάλασσά τε σφι εἴη ἐν φυλακῇ ὑπ' Ἀθηναίων τε φρουρεομένη καὶ Αἰγινητέων καὶ τῶν ⟨ἄλλων τῶν⟩ ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντων, καί σφι εἴη δεινὸν οὐδέν· οὐ γὰρ θεὸν εἶναι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα ἀλλ' ἄνθρωπον, εἶναι δὲ θνητὸν οὐδένα οὐδὲ ἔσεσθαι τῷ κακὸν ἐξ ἀρχῆς γινομένῳ οὐ συνεμείχθη, τοῖσι δὲ μεγίστοισι αὐτῶν μέγιστα· ὀφείλειν ὧν καὶ τὸν ἐπελαύνοντα, ὡς ἐόντα θνητόν, ἀπὸ τῆς δόξης πεσεῖν ἄν. οἱ δὲ ταῦτα πυνθανόμενοι ἐβοήθεον ἐς τὴν Τρηχῖνα.

Τούτοισι ἦσαν μέν νυν καὶ ἄλλοι στρατηγοὶ κατὰ **204**
πόλιας ἑκάστων, ὁ δὲ θωμαζόμενος μάλιστα καὶ παντὸς τοῦ στρατεύματος ἡγεόμενος Λακεδαιμόνιος ἦν Λεω-

203. 2. *ἐπίκλητοι ἐγένοντο* 'waren aufgeboten worden' (V 63 5). — *Ὀπούντιοι*: die s. g. *Ἐπικνημίδιοι*, die dem Passe zunächst wohnten, sind darin einbegriffen. H. unterscheidet auch sonst nur *Λοκροὶ Ὀπούντιοι* und *Ὀζόλαι* (VIII 1 11. 32 8) im Mutterlande. — *πανστρατιῇ*, weil unmittelbar bedroht.

3. *οἱ Ἕλληνες*, die beim Passe. Daher *αὐτόθεν*, an Ort und Stelle. Vgl. VIII 64 7.

6 f. *σφι*, den Lokrern und Phokeern. — *εἴη ἐν φυλακῇ* = *φυλάσσοιτο*. Vgl. *ἐν σκέπῃ εἶναι, ἔχειν ἐν φυλακῇ*.

9. *θεόν*: vgl. c. 56 6.

11 f. *ἐξ ἀρχῆς γινομένῳ, statim nascenti*. Zur Sentenz vgl. I 32. VII 46 12 ff. 49 18. Pind. P. III 81 *ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς Ἀθάνατοι*. Soph. Antig. 613 *οὐδὲν ἕρπει θνατῶν βιότῳ πᾶν Διὸς ἐκτὸς ἄτας*. — *μεγίστοισι – μέγιστα*: vgl. c. 10 ε. — *ὀφείλειν, non posse non* (c. 50 α 9). Dazu müfste ἄν gehören (14, sc. *ὀφείλοι ἄν*), falls es echt ist. Ich vermute dafür *ἀνὰ χρόνον* 'zuletzt' (II 151 2. V 27 2. VII 10 ζ 4).

15. *Τρηχῖνα*, wo also die Verbündeten damals noch standen (vgl. c. 226 5).

204. *τούτοισι – ἑκάστων*: man erwartet entweder *τούτων – ἑκάστων* (Thuk. I 46. II 83) oder *τούτοισι – ἑκάστοισι* (IV 62 2).

3 ff. Die volle Aufzählung der erlauchten Ahnenreihe ist eine dem gefeierten Manne dargebrachte Hul-

νίδης ὁ Ἀναξανδρίδεω τοῦ Λέοντος τοῦ Εὐρυκρατίδεω τοῦ Ἀναξάνδρου τοῦ Εὐρυκράτεος τοῦ Πολυδώρου τοῦ Ἀλκαμένεος τοῦ Τηλέκλου τοῦ Ἀρχέλεω τοῦ Ἡγησίλεω τοῦ Δορύσσου τοῦ Λεωβώτεω τοῦ Ἐχεστράτου τοῦ Ἥγιος τοῦ Εὐρυσθένεος τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου τοῦ Κλεοδαίου τοῦ Ὕλλου τοῦ Ἡρακλέος, κτησάμενος
205 τὴν βασιληίην ἐν Σπάρτῃ ἐξ ἀπροσδοκήτου. διξῶν γάρ οἱ ἐόντων πρεσβυτέρων ἀδελφεῶν, Κλεομένεός τε καὶ Δωριέος, ἀπελήλατο τῆς φροντίδος περὶ τῆς βασιληίης. ἀποθανόντος δὲ Κλεομένεος ἄπαιδος ἔρσενος γόνου, Δωριέος τε οὐκέτι ἐόντος ἀλλὰ τελευτήσαντος καὶ τούτου ἐν Σικελίῃ, οὕτω δὴ ἐς Λεωνίδην ἀνέβαινε ἡ βασιληίη, καὶ διότι πρότερος ἐγεγόνεε Κλεομβρότου (οὗτος γὰρ ἦν νεώτατος Ἀναξανδρίδεω παῖς) καὶ δὴ καὶ εἶχε Κλεομένεος θυγατέρα. ὃς τότε ἦιε ἐς Θερμοπύλας ἐπιλεξάμενος ἄνδρας τε τοὺς κατεστεῶτας τριηκοσίους καὶ τοῖσι ἐτύγχανον παῖδες ἐόντες· παραλαβὼν δὲ ἀπίκετο καὶ

digung. Ähnlich bei Leotychides (VII 131), Alexandros (VIII 137 ff.), Pausanias (IX 74). Vgl. zu VI 14 13. — *Λεωνίδης*: die dorische Form müfste *Λανίδας* lauten, wird aber nicht gefunden. — *Λέων*, Gen. *Λέοντος* (I 65 5) ist ionisch. Die dorische Form ist unbekannt, wahrscheinlich *Λᾶν* (Gen. *Λᾶνος*) oder *Λᾶς* (Gen. *Λᾶ*), nach Analogie von *Ποτιδᾶν* und *Ποτιδᾶς* = ion. *Ποσειδέων*, herzuleiten von *λαός* (od. *λᾶς*) = *λεώς*, welches auch sonst in spartiatischen Königsnamen vorkommt (*Ἀναξίλεως Ἀρχέλεως Ἡγησίλεως Χαρίλεως Λεωβώτης Λεωτυχίδης*). Die ionische Flexion ist jedenfalls verfehlt; sonst hätte der Enkel *Λεοντίδης* oder *Λεοντιάδης* (c. 205 13), nicht *Λεωνίδης* heifsen müssen. So hat man auch die attische Phyle *Λεοντίς* nach einem Heros *Λεώς* benannt. — *Εὐρυκρατίδεω*: Paus. III 3 5 *Εὐρυκράτους δὲ τοῦ δευτέρου Λέων (υἱὸς γίνεται)*.

205. S. V 40—48. *διξῶν*, von zwiefacher Seite, da Anaxandridas in Doppelehe lebte. Kleomenes war aus der zweiten Ehe, aber früher geboren.

3. *φροντίς* hier in ursprünglicher Bed. 'Gedanke'; *ab opinione regni longe remotus erat*. Zu *ἀπελήλατο* vgl. VI 130 8. — *περί*: vom Fehlen des Artikels (*τῆς περί*) s. zu III 7 2.

4. *ἄπαιδος – γόνου*: zu I 109 11. V 48 4.

6. *ἀνέβαινε*: zu c. 5 1

7. Eig. *διότι καί*. Vgl. II 104 7.

9. *θυγατέρα*: s. c. 239 22.

10. Eig. *τούς τε*. S. zu I 207 35. — *τοὺς κατεστεῶτας* 'die festgesetzten, üblichen', die s. g. *ἱππέες* (I 67 24. VIII 124 13). 'Feststehend' war die Zahl dreihundert dieser erlesenen, allzeit kriegsbereiten Truppe, die unter der persönlichen Führung des ausziehenden Königs stand. Thuk. V 72 *τῷ μέσῳ ἥπερ*

Θηβαίων τοὺς ἐς τὸν ἀριθμὸν λογισάμενος εἶπον, τῶν ἐστρατήγεε Λεοντιάδης ὁ Εὐρυμάχου. τοῦδε δὲ εἵνεκα τούτους σπουδὴν ἐποιήσατο Λεωνίδης μούνους Ἑλλήνων παραλαβεῖν, ὅτι σφέων μεγάλως κατηγόρητο μηδίζειν· παρεκάλεε ἂν ἐς τὸν πόλεμον θέλων εἰδέναι εἴτε συμπέμψουσι εἴτε καὶ ἀπερέουσι ἐκ τοῦ ἐμφανέος τὴν Ἑλλήνων συμμαχίην. οἳ δὲ ἄλλα φρονέοντες ἔπεμπον.

Τούτους μὲν τοὺς ἀμφὶ Λεωνίδην πρώτους ἀπέπεμ- **206**
ψαν Σπαρτιῆται, ἵνα τούτους ὁρῶντες οἱ ἄλλοι σύμμαχοι στρατεύωνται μηδὲ καὶ οὗτοι μηδίσωσι, ἢν αὐτοὺς πυνθάνωνται ὑπερβαλλομένους· μετὰ δέ, Κάρνεια γάρ σφι ἦν ἐμποδών, ἔμελλον ὀρτάσαντες καὶ φυλακὰς λιπόντες ἐν τῇ Σπάρτῃ κατὰ τάχος βοηθέειν πανδημί. ὡς δὲ καὶ οἱ λοιποὶ τῶν συμμάχων ἐνένωντο καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιήσειν· ἦν γὰρ κατὰ τὠυτὸ Ὀλυμπιὰς τούτοισι τοῖσι πρήγμασι συμπεσοῦσα· οὕτω δοκέοντες κατὰ τάχος οὕτω διακριθήσεσθαι τὸν ἐν Θερ- **207**
μοπύλῃσι πόλεμον ἔπεμπον τοὺς προδρόμους. οὗτοι μὲν

ὁ βασιλεὺς Ἄγις ἦν καὶ περὶ αὐτὸν οἱ τριακόσιοι ἱππῆς καλούμενοι. Vgl. die 'Dreihundert' I 82. IX 64. Die Worte *ἐπιλεξάμενος* und *καὶ – ἐόντες* zeigen dafs der König sie diesmal für den Feldzug aus der jungen Mannschaft (vom 20. bis 30. Jahr, den *ἰρένες*, IX 85 5) besonders auswählte, und dabei gleich auf den schlimmsten Ausgang Bedacht nahm, um den Bestand der Familien nicht zu gefährden.

12. *λογίζεσθαι* 'in Rechnung stellen, mitzählen' (c. 187 14), nämlich oben c. 202.

14. *μούνους*: die anderen hatte er also nicht selber zum Mitzug 'aufgeboten' (*παραλαβών*).

17. *ἀπερέουσι* 'versagen würden' (I 152 14. VII 14 5).

18. *ἄλλα φρονέοντες*: vgl. c. 168 10. IX 54 5. Verschieden *ἀλλοφρονῆσαι* V 85 10.

206. 4. *ὑπερβαλλομένους*, sc. *στρατεύεσθαι*. — *μετὰ δέ*, 'später aber', gehört zu *βοηθέειν πανδημί*. — *Κάρνεια*, das grofse nationaldorische Fest des *Ἀπόλλων Καρνεῖος*, das 9 Tage dauerte und nahe vor dem Beginn der Olympien endete.

7 ff. *ὡς δὲ καὶ – καὶ αὐτοὶ ἕτερα τοιαῦτα*, zwiefacher Pleonasmus. S. c. 119 1. — *ἐνένωντο* (*ἐνενόηντο*) = *ἐν νόῳ εἶχον* (I 77 6 u. 14), mit Inf. Fut. (zu I 10 9). — *κατὰ τὠυτὸ συμπεσοῦσα, in idem tempus congruens*, 'gleichzeitig'. Vgl. I 53 12. 206 17. IV 119 4. V 36 6. VII 3 2. — *Ὀλυμπιάς*, deren letzter (5.) Tag diesmal auf den zweiten Vollmond nach der Sommer-Sonnenwende (28. Juni abends), auf den 19. August fiel (Busolt Gr. G. II 145 f.).

10. *οὕτω*, nachgestellt wie VI 3 2. VII 47 3. 223 4.

δὴ οὕτω διενένωντο ποιήσειν. οἱ δὲ ἐν Θερμοπύλῃσι Ἕλληνες, ἐπειδὴ πέλας ἐγένετο τῆς ἐσβολῆς ὁ Πέρσης, καταρρωδέοντες ἐβουλεύοντο περὶ ἀπαλλαγῆς. τοῖσι μέν νυν ἄλλοισι Πελοποννησίοισι ἐδόκεε ἐλθοῦσι ἐς Πελοπόννησον τὸν Ἰσθμὸν ἔχειν ἐν φυλακῇ· Λεωνίδης δέ, Φωκέων καὶ Λοκρῶν περισπερχεόντων τῇ γνώμῃ ταύτῃ, αὐτοῦ τε μένειν ἐψηφίζετο πέμπειν τε ἀγγέλους ἐς τὰς πόλιας κελεύοντάς σφι ἐπιβοηθέειν, ὡς ἐόντων αὐτῶν ὀλίγων στρατὸν τὸν Μήδων ἀλέξασθαι.

208 Ταῦτα βουλευομένων σφέων, ἔπεμπε Ξέρξης κατάσκοπον ἱππέα ἰδέσθαι ὁκόσοι εἰσὶ καὶ ὅ τι ποιέοιεν. ἀκηκόεε δὲ ἔτι ἐὼν ἐν Θεσσαλίῃ ὡς ἁλισμένη εἴη ταύτῃ στρατιὴ ὀλίγη, καὶ τοὺς ἡγεμόνας ὡς εἶησαν Λακεδαιμόνιοί τε καὶ Λεωνίδης ἐὼν γένος Ἡρακλείδης. ὡς δὲ προσήλασε ὁ ἱππεὺς πρὸς τὸ στρατόπεδον, ἐθηεῖτό τε καὶ κατώρα πᾶν μὲν οὗ τὸ στρατόπεδον· τοὺς γὰρ ἔσω τεταγμένους τοῦ τείχεος, τὸ ἀνορθώσαντες εἶχον ἐν φυλακῇ, οὐκ οἵά τε ἦν κατιδέσθαι· ὃ δὲ τοὺς ἔξω ἐμάνθανε, τοῖσι πρὸ τοῦ τείχεος τὰ ὅπλα ἔκειτο· ἔτυχον δὲ τοῦτον τὸν χρόνον Λακεδαιμόνιοι ἔξω τεταγμένοι. τοὺς μὲν δὴ ὥρα γυμναζομένους τῶν ἀνδρῶν, τοὺς δὲ τὰς κόμας κτενιζομένους. ταῦτα δὴ θεώμενος ἐθώμαζε καὶ τὸ πλῆθος ἐμάνθανε. μαθὼν δὲ πάντα ἀτρεκέως ἀπήλαυνε ὀπίσω κατ' ἡσυχίην· οὔτε γάρ τις ἐδίωκε ἀλογίης τε ἐνεκύρησε πολλῆς· ἀπελθών τε ἔλεγε **209** πρὸς Ξέρξην τά περ ὀπώπεε πάντα. ἀκούων δὲ Ξέρξης οὐκ εἶχε συμβαλέσθαι τὸ ἐόν, ὅτι παρασκευάζοιντο ὡς ἀπολεόμενοί τε καὶ ἀπολέοντες κατὰ δύναμιν· ἀλλ'

207. 7. *περισπερχεόντων*: sonst lautet das Verb *σπέρχεσθαι*, weshalb Valckenaer *περισπερχθέντων* emendierte. *περισπερχέειν* wäre eine Ableitung vom Adjektiv *περισπερχής*. Zum Sinne vgl. V 33 *δεινὸν ἐποιήσατο ὁ Μεγαβάτης καὶ ἐσπέρχετο τῷ Ἀρισταγόρῃ*, I 32 *Κροῖσος δὲ σπερχθεὶς εἶπε*.
10. *ὀλίγων* 'zu wenige' (VI 109 2).

208. 2. *εἰσὶ – ποιέοιεν*: zu V 13 7.
10. *ἐμάνθανε*: zu c. 37 10.
13. *τὰς κόμας*: zu I 82 38.
15 f. *κατ' ἡσυχίην* 'unbelästigt'. — *οὔτε – τε*, wie c. 8 *α* 1. — Vom Genitiv *ἀλογίης* bei *ἐνεκύρησε* s. zu IV 140 15.

209. 2. *τὸ ἐόν, quid rei esset* (I 30 16). — Der Optativ *παρα-*

αὐτῷ γελοῖα γὰρ ἐφαίνοντο ποιέειν, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος ἐόντα ἐν τῷ στρατοπέδῳ. ἀπικόμενον δέ μιν εἰρώτα Ξέρξης ἕκαστα τούτων, ἐθέλων μαθεῖν τὸ ποιεύμενον πρὸς τῶν Λακεδαιμονίων. ὃ δὲ εἶπε „ἤκουσας μὲν καὶ πρότερόν μευ, εὖτε ὁρμῶμεν ἐπὶ τὴν Ἑλλάδα, περὶ τῶν ἀνδρῶν τούτων· ἀκούσας δὲ γέλωτά με ἔΘευ λέγοντα τῇ περ ὧρων ἐκβησόμενα [πρήγματα] ταῦτα· ἐμοὶ γὰρ τὴν ἀληθείην ἀσκέειν ἀντία σεῦ βασιλεῦ ἀγὼν μέγιστος ἐστί. ἄκουσον δὲ καὶ νῦν· οἱ ἄνδρες οὗτοι ἀπίκαται μαχησόμενοι ἡμῖν περὶ τῆς ἐσόδου, καὶ ταῦτα παρασκευάζονται. νόμος γάρ σφι ἔχων οὕτω ἐστί· ἐπεὰν μέλλωσι κιδυνεύειν τῇ ψυχῇ, τότε τὰς κεφαλὰς κοσμέονται. ἐπίστασο δέ, εἰ τούτους τε καὶ τὸ ὑπομένον ἐν Σπάρτῃ καταστρέψεαι, ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων τὸ σὲ βασιλεῦ ὑπομενέει χεῖρας ἀνταειρόμενον· νῦν γὰρ πρὸς βασιληίην τε [καὶ] καλλίστην [πόλιν] τῶν ἐν Ἕλλησι προσφέρεαι καὶ ἄνδρας ἀρίστους." κάρτα τε δὴ Ξέρξῃ ἄπιστα ἐφαίνετο τὰ λεγόμενα εἶναι, καὶ δεύτερα ἐπειρώτα ὄντινα τρόπον τοσοῦτοι ἐόντες τῇ ἑωυτοῦ στρατιῇ μαχήσονται. ὃ δὲ εἶπε „ὦ βασιλεῦ, ἐμοὶ χρᾶσθαι ὡς ἀνδρὶ ψεύστῃ, ἢν μὴ ταῦτά τοι ταύτῃ ἐκβῇ τῇ ἐγὼ λέγω."

Ταῦτα λέγων οὐκ ἔπειθε τὸν Ξέρξην. τέσσερας μὲν **210** δὴ παρῆξε ἡμέρας, ἐλπίζων αἰεί σφεας ἀποδρήσεσθαι· πέμπτῃ δέ, ὡς οὐκ ἀπαλλάσσοντο ἀλλά οἱ ἐφαίνοντο ἀναιδείῃ τε καὶ ἀβουλίῃ διαχρεώμενοι μένειν, πέμπει ἐπ' αὐτοὺς Μήδους τε καὶ Κισσίους θυμωθείς, ἐντειλάμενος σφέας ζωγρήσαντας ἄγειν ἐς ὄψιν τὴν ἑωυτοῦ.

σκευάζοιντο wie c. 210 11. VIII 93 5. 107 12.
4. *ἀλλὰ – γάρ* 'sondern da' (I 24 17).
8. *πρότερον*: c. 101 ff.
12. *ἀγών* 'Bestreben, Ehrgeiz'.
14. *ταῦτα* 'dazu', zum Kämpfen. Vgl. I 36 *νεόγαμός τε γάρ ἐστι καὶ ταῦτά οἱ νῦν μέλει*, u. zu VI 105 3.
17. *τὸ ὑπομένον*: vgl. c. 157 18.
20. Die spartiatischen Herakliden waren an Alter und Ruhm das erlauchteste Fürstenhaus in Hellas.
22. Vom Präsens *λεγόμενα* s. zu I 9 8.
23. *τοσοῦτοι* 'so wenige'; vgl. I 28 4. IV 159 4.
24. *ἐμοὶ χρᾶσθαι* 'verfahre mit mir'. Zum Modus vgl. I 32 40. — *ψεύστῃ*: vgl. I 138 2.

ὡς δ' ἐσέπεσον φερόμενοι ἐς τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοί, ἄλλοι δ' ἐπεσήισαν, καὶ οὐκ ἀπηλαύνοντο καίπερ μεγάλως προσπταίοντες. δῆλον δ' ἐποίευν παντί τεῳ καὶ οὐκ ἥκιστα αὐτῷ βασιλέι, ὅτι πολλοὶ μὲν ἄνθρωποι εἶεν, ὀλίγοι δὲ ἄνδρες. ἐγίνετο δὲ ἡ συμ-
211 βολὴ δι' ἡμέρης. ἐπείτε δὲ οἱ Μῆδοι τρηχέως περιείποντο, ἐνθαῦτα οὗτοι μὲν ὑπεξήισαν, οἱ δὲ Πέρσαι ἐκδεξάμενοι ἐπήισαν, τοὺς ἀθανάτους ἐκάλεε βασιλεύς, τῶν ἦρχε Ὑδάρνης, ὡς δὴ οὗτοί γε εὐπετέως κατεργασόμενοι. ὡς δὲ καὶ οὗτοι συνέμισγον τοῖσι Ἕλλησι, οὐδὲν πλέον ἐφέροντο τῆς στρατιῆς τῆς Μηδικῆς ἀλλὰ τὰ αὐτά, ἅτε ἐν στεινοπόρῳ τε χώρῳ μαχόμενοι καὶ δόρασι βραχυτέροισι χρεώμενοι ἤ περ οἱ Ἕλληνες, καὶ οὐκ ἔχοντες πλήθεϊ χρήσασθαι. Λακεδαιμόνιοι δὲ ἐμάχοντο ἀξίως λόγου, ἄλλα τε ἀποδεικνύμενοι ἐν οὐκ ἐπισταμένοισι μάχεσθαι ἐξεπιστάμενοι, καὶ ὅκως ἐντρέψειαν τὰ νῶτα, ἀλέες φεύγεσκον δῆθεν, οἱ δὲ βάρβαροι ὁρῶντες φεύγοντας βοῇ τε καὶ πατάγῳ ἐπήισαν, οἱ δ' ἂν καταλαμβανόμενοι ὑπέστρεφον ἀντίοι εἶναι τοῖσι βαρβάροισι, μεταστρεφόμενοι δὲ κατέβαλλον πλήθεϊ ἀναριθμή-

Zweitägiger Kampf an der westlichen Enge (c. 210—212).

210. 7. *ὡς ἐσέπεσον*: mehr in H.'s Weise wäre *ὅκως ἐσπέσοιεν*, wie c. 211 11 u. s.

8. *ἔπιπτον – ἐπεσήισαν*: das Imperfekt, weil diese Bewegungen sich den ganzen Tag hindurch (*δι' ἡμέρης*), bei jedem Sturmversuche (*φερόμενοι*, unten c. 212 2 *πρόσοδοι*) wiederholten. — *ἐπεσήισαν*, in Stelle der Gefallenen. — *οὐκ ἀπηλαύνοντο*, *repellebantur*: sie hielten Stand, obschon alle Angriffe der vorgeschickten Abteilungen mifsglückten. Diese Thatsache belegt nun freilich nicht die Wahrheit der gleich folgenden Anmerkung des Erzählers: sie zeugt vielmehr von zäher Ausdauer der medischen Truppen. Er hat die Anmerkung wohl erst später eingefügt, an nicht eben passender Stelle. Denn auch die fg. Worte *ἐγίνετο – ἡμέρης* gehören noch zu der Schilderung des rastlosen Angriffs.

211. 3. *ἀθανάτους*: s. c. 83.

4. *κατεργασόμενοι, τοὺς Ἕλληνας*. — *οὗτοι*, im Appositionssatze; s. zu III 5 13.

6. *πλέον ἐφέροντο*: vgl. c. 168 23. VIII 29 5.

7. *στεινοπόρῳ*: zu c. 201 2.

8. *βραχυτέροισι*: zu V 49 16.

9. *πλήθεϊ χρήσασθαι*: zu c. 177 3.

12. *φεύγεσκον*, parallel zu *ἀποδεικνύμενοι* (I 85 5). — *δῆθεν, scilicet*. Die Flucht war nur scheinbar.

13. *βοῇ – πατάγῳ*: vgl. III 79 5.

14. *καταλαμβανόμενοι* 'eingeholt' (c. 50 22. 230 3). — *εἶναι*: zu c. 5 4.

τους τῶν Περσέων· ἔπιπτον δὲ καὶ αὐτῶν τῶν Σπαρτιητέων ἐνθαῦτα ὀλίγοι. ἐπεὶ δὲ οὐδὲν ἐδυνέατο παραλαβεῖν οἱ Πέρσαι τῆς ἐσόδου, πειρώμενοι καὶ κατὰ τέλεα καὶ παντοίως προσβάλλοντες, ἀπήλαυνον ὀπίσω. ἐν **212**
ταύτῃσι τῇσι προσόδοισι [τῆς μάχης] λέγεται βασιλέα Ξηεύμενον τρὶς ἀναδραμεῖν ἐκ τοῦ θρόνου δείσαντα περὶ τῇ στρατιῇ. τότε μὲν οὕτω ἠγωνίσαντο, τῇ δ' ὑστεραίῃ οἱ βάρβαροι οὐδὲν ἄμεινον ἀέθλεον. ἅτε γὰρ ὀλίγων ἐόντων ..., ἐλπίσαντες σφέας κατατετρωματίσθαι τε καὶ οὐκ οἵους τε ἔσεσθαι ἔτι χεῖρας ἀνταείρεσθαι συνέβαλλον. οἱ δὲ Ἕλληνες κατὰ τάξις τε καὶ κατὰ ἔθνεα κεκοσμημένοι ἦσαν, καὶ ἐν μέρεϊ ἕκαστοι ἐμάχοντο, πλὴν Φωκέων· οὗτοι δὲ ἐς τὸ ὄρος ἐτάχθησαν φυλάξοντες τὴν ἀτραπόν. ὡς δὲ οὐδὲν [εὕρισκον] ἀλλοιότερον οἱ Πέρσαι ἢ τῇ προτεραίῃ ἐνώρων, ἀπήλαυνον.

Ἀπορέοντος δὲ βασιλέος ὅ τι χρήσηται τῷ παρεόντι **213**
πρήγματι, Ἐπιάλτης ὁ Εὐρυδήμου ἀνὴρ Μηλιεὺς ἦλθέ οἱ ἐς λόγους· ὃς μέγα τι παρὰ βασιλέος δοκέων οἴσεσθαι ἔφρασέ τε τὴν ἀτραπὸν τὴν διὰ τοῦ ὄρεος φέρουσαν ἐς Θερμοπύλας, καὶ διέφθειρε τοὺς ταύτῃ ὑπομείναντας Ἑλλήνων. ὕστερον δὲ δείσας Λακεδαιμονίους ἔφυγε ἐς Θεσσαλίην, καί οἱ φυγόντι ὑπὸ τῶν Πυλαγό-

17. *παραλαβεῖν* 'gewinnen' (III 7 3).

18. *κατὰ τέλεα*: zu c. 81 6.

212. 2. *προσόδοισι = προσβολῇσι*: im Singular c. 223 3. IX 101 15.

3. *Ξηεύμενον*, was von dem hochliegenden Trachis aus (c. 201) wohl angieng, so lange der Kampf noch in und vor der Enge stand. — *ἀναδραμεῖν, subsiluisse* (c. 15 1). Il. υ 61 ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀιδωνεύς, Δείσας δ' ἐκ θρόνου ἆλτο.

6. Es fehlt *τῶν Ἑλλήνων* oder *τῶν ἐναντίων*.

8. *τάξις – ἔθνεα*: die Formierung nahm eine doppelte Rücksicht, auf Gleichheit der Waffen und Einheit des Stammes. Vgl. IX 33 2.

11. *τὴν ἀτραπόν*, schon oben c. 175 6 erwähnt. Näheres c. 216.

12. *ἐνώρων = εὕρισκον*, sc. *ἐν τοῖσι Ἕλλησι*.

Verrat des Epialtes. Flankenmarsch der Perser (c. 213—218).

213. 2. *Μηλιεύς*, aus Trachis (c. 214 9).

7 ff. *οἱ*, auf seinen Kopf. — Die *Πυλαγόροι* (od. *-αι*) waren die Vertreter der zur Amphiktyonie gehörigen Staaten auf der regelmäfsigen in den Thermopylen (*Πύλαι*. c. 201 5) abgehaltenen Versammlung (*Πυλαία*). Diese fand im Früh-

ρων τῶν [Ἀμφικτυόνων] ἐς τὴν Πυλαίην συλλεγομένων ἀργύριον ἐπεκηρύχθη. χρόνῳ δὲ ὕστερον, κατῆλθε γὰρ ἐς Ἀντικύρην, ἀπέθανε ὑπὸ Ἀθηνάδεω ἀνδρὸς Τρηχινίου. ὁ δὲ Ἀθηνάδης οὗτος ἀπέκτεινε μὲν Ἐπιάλτεα δι' ἄλλην αἰτίην, τὴν ἐγὼ ἐν τοῖσι ὄπισθε λόγοισι σημανέω, ἐτιμήθη μέντοι ὑπὸ Λακεδαιμονίων οὐδὲν ἧσσον. Ἐπιάλτης μὲν οὕτω ὕστερον τούτων ἀπέθανε. ἔστι δὲ ἕτερος λεγόμενος λόγος, ὡς Ὀνήτης τε ὁ Φαναγόρεω ἀνὴρ Καρύστιος καὶ Κορυδαλλὸς Ἀντικυρεὺς εἰσὶ οἱ εἰπαντες πρὸς βασιλέα τούτους τοὺς λόγους καὶ περιηγησάμενοι τὸ ὄρος τοῖσι Πέρσῃσι, οὐδαμῶς ἔμοιγε πιστός. τοῦτο μὲν γὰρ τῷδε χρὴ σταθμώσασθαι, ὅτι οἱ τῶν Ἑλλήνων Πυλαγόροι ἐπεκήρυξαν οὐκ ἐπὶ Ὀνήτῃ τε καὶ Κορυδαλλῷ ἀργύριον ἀλλ' ἐπὶ Ἐπιάλτῃ τῷ Τρηχινίῳ, πάντως κου τὸ ἀτρεκέστατον πυθόμενοι· τοῦτο δὲ φυγόντα Ἐπιάλτην ⟨διὰ⟩ ταύτην τὴν αἰτίην οἴδαμεν. εἰδείη μὲν γὰρ ἂν καὶ ἐὼν μὴ Μηλιεὺς ταύτην τὴν ἀτραπὸν Ὀνήτης, εἰ τῇ χώρῃ πολλὰ ὡμιληκὼς εἴη· ἀλλ' Ἐπιάλτης γὰρ ἐστὶ ὁ περιηγησάμενος τὸ ὄρος κατὰ τὴν ἀτραπόν, τοῦτον αἴτιον γράφω.

214

jahr statt, eine zweite herbstliche in Delphi, auf die dann auch jene Bezeichnung übergieng. Die hier gemeinte kann erst im Frühjahr 478 abgehalten sein. — *κατῆλθε* 'kehrte heim' (I 60 25). — Antikyra war eine Stadt der Malier (c. 198 9).

12. *ἐν τοῖσι ὄπισθε – λόγοισι*: s. Einleit. S. XLV.

214. 2. Ein dritter und mehr ansprechender *λόγος* bei Ktesias Pers. 24 *Θώραξ δὲ ὁ Θεσσαλὸς* (zu c. 6 6) *καὶ Τραχινίων οἱ δυνατοὶ Καλλιάδης τε καὶ Τιμαφέρνης* (?) *παρῆσαν στρατιὰν ἔχοντες. Καλέσας δὲ Ξέρξης τούτους τε καὶ τὸν Δημάρατον καὶ τὸν Ὑγίαν τὸν Ἐφέσιον ἔμαθεν ὡς οὐκ ἂν ἡττηθεῖεν Λακεδαιμόνιοι, εἰ μὴ κυκλωθείησαν. ἡγουμένων δὲ τῶν δύο Τραχινίων διὰ δυσβάτου στρατὸς Περσικὸς διελήλυθε μυριάδες τέσσαρες καὶ κατὰ νώτου γίνονται τῶν Λακεδαιμονίων.*

5. *περιηγησάμενοι τὸ ὄρος*: vgl. I 84 14.

10. *οἴδαμεν*: zu I 20 2.

11. *εἰδείη – ἄν* 'mochte kennen'. S. zu I 70 17. — Zu *ἐὼν μή* (statt *μὴ ἐών*) vgl. IX 9 8. Übrigens war Onetes wirklich kein Malier; man durfte also *οὐ* erwarten. S. III 65 27. — Der Gedanke ist nur kurz angedeutet, vollständig würde er lauten: 'man könnte zur Widerlegung dieser Tradition noch einwenden dafs Onetes kein Malier und deshalb des Pfades unkundig gewesen; aber dieser Einwand wäre ohne Gewicht, denn u. s. w.'

12. *ὡμιληκώς*: zu c. 26 10.

Ξέρξης δὲ, ἐπεί ⟨οἱ⟩ ἤρεσε τὰ ὑπέσχετο Ἐπιάλτης κατεργάσασθαι, αὐτίκα περιχαρὴς γενόμενος ἔπεμπε Ὑδάρνεα καὶ τῶν ἑστρατήγεε Ὑδάρνης· ὁρμέατο δὲ περὶ λύχνων ἁφὰς ἐκ τοῦ στρατοπέδου. τὴν δὲ ἀτραπὸν ταύτην ἐξεῦρον μὲν οἱ ἐπιχώριοι Μηλιέες, ἐξευρόντες δὲ Θεσσαλοῖσι κατηγήσαντο ἐπὶ Φωκέας, τότε ὅτε οἱ Φωκέες φράξαντες τείχεϊ τὴν ἐσβολὴν ἦσαν ἐν σκέπῃ τοῦ πολέμου. ἐκ τόσου δὴ κατεδέδεκτο ἐοῦσα οὐδὲν χρηστὴ Μηλιεῦσι. ἔχει δὲ ὧδε ἡ ἀτραπὸς αὕτη· ἄρχεται μὲν ἀπὸ τοῦ Ἀσωποῦ ποταμοῦ τοῦ διὰ τῆς διασφάγος ῥέοντος, οὔνομα δὲ τῷ ⟨τε⟩ ὄρεϊ τούτῳ καὶ τῇ ἀτραπῷ τωὐτὸ κεῖται, Ἀνόπαια· τείνει δὲ ἡ Ἀνόπαια αὕτη κατὰ ῥάχιν τοῦ ὄρεος, λήγει δὲ κατά τε Ἀλπηνὸν πόλιν,

215 216

215. 2. Vom Aorist nach *ὑπέσχετο* zu c. 134 14.

3. *τῶν ἑστρατήγεε*, die zehntausend 'Unsterblichen' (c. 83. 211). — *περὶ λύχνων ἁφάς, prima face, sub lumina prima*, mit Einbruch der Nacht. Zur Bezeichnung vgl. *ἀγορῆς πληθώρη* (c. 223 2) u. ä.

5. Der Weg war schwer zu finden, besonders der Abstieg. Plut. M. Cato 13 *τὸ μὲν κατὰ στόμα* (sc. *τῶν Θερμοπυλῶν*) *βιάζεσθαι παντάπασιν ἀπεγίνωσκον οἱ Ῥωμαῖοι, τὴν δὲ Περσικὴν ἐκείνην περιήλυσιν καὶ κύκλωσιν ὁ Κάτων εἰς νοῦν βαλόμενος ἐξώδευσε νύκτωρ ἀναλαβὼν μέρος τι τῆς στρατιᾶς. ἐπεὶ δ' ἄνω προελθόντων ὁ καθοδηγῶν αἰχμάλωτος ἐξέπεσε τῆς ὁδοῦ καὶ πλανώμενος ἐν τόποις ἀπόροις καὶ κρημνώδεσι δεινὴν ἀθυμίαν καὶ φόβον ἐνειργάσατο τοῖς στρατιώταις, ὁρῶν ὁ Κάτων τὸν κίνδυνον – ἄνδρα δεινὸν ὀρειβατεῖν παραλαβὼν ἐχώρει πολυπόνως καὶ παραβόλως – ἕως ἐμβαλόντες εἰς ἀτραπόν, ὡς ᾤοντο, κάτω περαίνουσαν κτλ. μικρὸν δὲ προελθοῦσιν αὐτοῖς ἐπέλιπε (ἡ ἀτραπὸς) φάραγγος ὑπολαμβανούσης. καὶ πάλιν ἦν ἀπορία καὶ δέος κτλ.*

6. S. c. 176 19ff.

8f. *ἐκ τόσου δή* 'seit so früher Zeit'. Vgl. V 89 1. — *χρηστή* = *χρήσιμος* (III 78 10), *utilis*, nämlich *ἡ ἐσβολή*, zur Abwehr der Feinde. — *Μηλιεῦσι* geh. zu *κατεδέδεκτο*.

216. Abweichend Paus. X 22 8 *ἀτραπὸς ἐστὶ διὰ τοῦ ὄρους τῆς Οἴτης μία μὲν ἡ ὑπὲρ Τραχῖνος ἀποτομός τε τὰ πλείω καὶ ὄρθιος δεινῶς, ἑτέρα δὲ ἡ διὰ τῆς Αἰνιάνων ὁδεῦσαι στρατῷ ὁράων, δι' ἧς καὶ Ὑδάρνης ποτὲ Μῆδος κατὰ νώτου τοῖς περὶ Λεωνίδην ἐπέθετο Ἕλλησι.*

2. *Ἀσωποῦ*: s. c. 199.

4. *ἀνόπαιος* = *ἄνω φερόμενος*, 'emporsteigend' (Empedokles 168). Adverbial Od. α 320 *ὄρνις δ' ὣς ἀνόπαια διέπτατο*. Also *Ἀνόπαια* etwa 'Jähauf'. Jetzt *μουνοπάτι* 'Einzelpfad'. Vgl. Rofs zu c. 198 10.

5. *Ἀλπηνὸν πόλιν*: c. 176 10 u. 30. 229 5 *Ἀλπηνοί* und nur *κώμη*, gleich rechts von der östlichen Enge. Wahrscheinlich synkopiert aus *Ἀλοπηνοί*; vgl. *Ἀλόπη* und *Ἄλπωνος* (Steph. B.). War dieser Ort besetzt, so war die Besatzung der Pässe zwar noch durch die östliche Enge

πρώτην ἐοῦσαν τῶν Λοκρίδων πρὸς τῶν Μηλιέων, καὶ κατὰ Μελάμπυγόν τε καλεόμενον λίθον καὶ [κατὰ] Κερ-
217 κώπων ἕδρας, τῇ καὶ τὸ στεινότατον ἐστί. κατὰ ταύτην δὴ τὴν ἀτραπὸν καὶ οὕτω ἔχουσαν οἱ Πέρσαι, τὸν Ἀσωπὸν διαβάντες, ἐπορεύοντο πᾶσαν τὴν νύκτα, ἐν δεξιῇ μὲν ἔχοντες ὄρεα τὰ Οἰταίων, ἐν ἀριστερῇ δὲ τὰ Τρηχινίων. ἠώς τε δὴ διέφαινε καὶ οἳ ἐγένοντο ἐπ' ἀκρωτηρίῳ τοῦ ὄρεος. κατὰ δὲ τοῦτο τοῦ ὄρεος ἐφύλασσον, ὡς καὶ πρότερόν μοι δεδήλωται, Φωκέων χίλιοι ὁπλῖται, ῥυόμενοί τε τὴν σφετέρην χώρην καὶ φρουρέοντες τὴν ἀτραπόν. ἡ μὲν γὰρ κάτω ἐσβολὴ ἐφυλάσσετο ὑπὸ τῶν εἰρημένων, τὴν δὲ διὰ τοῦ ὄρεος ἀτραπὸν ἐθελονταὶ Φωκέες ὑποδεξάμενοι Λεωνίδῃ ἐφύλασσον.

gedeckt, aber von Rückzug und Zufuhr (c. 176 31) abgeschnitten.

6. *πρώτην – πρός*, von den Maliern her angefangen (I 145 7).

7 f. *Μελάμπυγος*, ursprünglich eine derbe Bezeichnung des Herakles als des mannhaftesten aller Helden. Hesych. *μελαμπύγους, τοὺς ἀνδρείους. τοὺς γὰρ δασεῖς τὰς πύγας ἀνδρείους ἐνόμιζον. — Κέρκωπες*, 'Schwänzlinge', diebische, schadsüchtige Kobolde, zwerghaft und possierlich, zwei an Zahl, und je nach dem Lande, wohin sie versetzt werden, verschieden benannt, immer aber in Zusammenhang mit Herakles, die listigen boshaften Kleinen neben dem gutmütigen derben Riesen. Einst, da er sich am Wege schlafen gelegt, rauben sie ihm die Waffen und gehen ihm damit tolldreist zu Leibe; da greift sie der Gewaltige, bindet und hängt sie, die Köpfe niederwärts, über die Schultern und trägt sie von dannen. In dieser Lage werden sie des *μελάμπυγος* gewahr, vor dem die Mutter sie gewarnt, und wissen darüber so drollig zu schwatzen, dafs der Held, von den neckischen Späfsen belustigt, sie lachend laufen läfst. Das Märchen war weit verbreitet; schon ein homerisches Gedicht *Κέρκωπες* erzählte von ihnen (*ψεύστας, ἠπεροπῆας, ἀμήχανά τ' ἔργ' ἀνύσαντας, Ἐξαπατῆρας· πολλὴν δ' ἐπὶ γαῖαν ἰόντες Ἀνθρώπους ἀπάτασκον ἀλώμενοι ἤματα πάντα*, bei Suidas s. v.), und die Anfänge der bildenden Kunst nahmen sie zum Vorwurf (Metopen am Tempel zu Selinus). Bei den Thermopylen mochte die Sage sich um so leichter festsetzen, als der Pafs für Wegelagerer wie gemacht schien, die drei sonderbar gestalteten Felsen eine Erklärung forderten, und die Heraklesmythen hier gleichsam zu Hause waren (zu c. 176 17). — *τῇ*: die Steine gehören schon zu den die Enge schliefsenden Felsen. Zwischen ihnen und Alpenoi führte der Weg hinab. — *τὸ στεινότατον*: zu c. 176 8.

217. 5. *τε – καὶ*: zu c. 12 2. Ähnliche Wendung VIII 56 7. 83 3.

8. *τὴν σφετέρην χώρην*: die Anopäa lief in die Gebirgsstrafse aus, welche von Alpenos über den Kallidromos nach Tithronion, ins obere Kephisosthal führte. Die phokische Truppe, welche diese deckte, hatte zugleich den Schutz der Anopäa übernommen.

ἔμαθον δὲ σφέας οἱ Φωκέες ὧδε ἀναβεβηκότας· ἀνα- 218
βαίνοντες γὰρ ἐλάνθανον οἱ Πέρσαι τὸ ὄρος πᾶν ἐὸν δρυῶν ἐπίπλεον. ἦν μὲν δὴ νηνεμίη, ψόφου δὲ γινομένου πολλοῦ, ὡς οἰκὸς ἦν φύλλων ὑποκεχυμένων ὑπὸ τοῖσι ποσί, ἀνά τε ἔδραμον οἱ Φωκέες καὶ ἐνέδυνον τὰ ὅπλα, καὶ αὐτίκα οἱ βάρβαροι παρῆσαν. ὡς δὲ εἶδον ἄνδρας ἐνδυομένους ὅπλα, ἐν θώματι ἐγένοντο· ἐλπόμενοι γὰρ οὐδέν σφι φανήσεσθαι ἀντίξοον ἐνεκύρησαν στρατῷ. ἐνθαῦτα Ὑδάρνης καταρρωδήσας μὴ [οἱ Φωκέες] ἔωσι Λακεδαιμόνιοι, εἴρετο Ἐπιάλτην ὁποδαπὸς εἴη ὁ στρατός, πυθόμενος δὲ ἀτρεκέως διέτασσε τοὺς Πέρσας ὡς ἐς μάχην. οἱ δὲ Φωκέες ὡς ἐβάλλοντο τοῖσι τοξεύμασι πολλοῖσί τε καὶ πυκνοῖσι, οἴχοντο φεύγοντες ἐπὶ τοῦ ὄρεος τὸν κόρυμβον, ἐπιστάμενοι ὡς ἐπὶ σφέας ὁρμηθείησαν ἀρχήν, καὶ παρεσκευάδατο ὡς ἀπολεόμενοι. οὗτοι μὲν δὴ ταῦτα ἐφρόνεον, οἱ δὲ ἀμφὶ Ἐπιάλτην καὶ Ὑδάρνεα Πέρσαι Φωκέων μὲν οὐδένα λόγον ἐποιεῦντο, οἱ δὲ κατέβαινον τὸ ὄρος κατὰ τάχος.

Τοῖσι δὲ ἐν Θερμοπύλῃσι ἐοῦσι Ἑλλήνων πρῶτον 219
μὲν ὁ μάντις Μεγιστίης, ἐσιδὼν ἐς τὰ ἱρά, ἔφρασε τὸν μέλλοντα ἔσεσθαι ἅμα ἠοῖ σφι θάνατον, ἐπὶ δὲ καὶ αὐτόμολοι ἦσαν οἱ ἐξαγγείλαντες τῶν Περσέων τὴν περίοδον. οὗτοι μὲν ἔτι νυκτὸς ἐσήμηναν, τρίτοι δὲ οἱ ἡμεροσκόποι καταδραμόντες ἀπὸ τῶν ἄκρων ἤδη διαφαινούσης ἡμέρης. ἐνθαῦτα ἐβουλεύοντο οἱ Ἕλληνες, καί σφεων ἐσχίζοντο αἱ γνῶμαι· οἱ μὲν γὰρ οὐκ ἔων τὴν τάξιν ἐκλιπεῖν, οἱ δὲ ἀντέτεινον. μετὰ δὲ τοῦτο

218. 3. Noch heute sind die Höhen mit schönen Fichten- und Eichenwäldern bestanden (Gell Itiner. 242).

10. *ὁποδαπός*, wegen der Form st. *ὁκοδαπός* zu V 13 5.

14. *ἐπιστάμενοι* 'glaubend' (I 3 4).

18. *οἱ δέ* 'sondern' (I 17 9).

Entlassung der Bundesgenossen. Letzter Kampf (c. 219—225).

219. 2. *ἐσιδὼν ἐς τὰ ἱρά*, *extis inspectis*.

3. *ἅμα ἠοῖ*, am nächsten Tage. Sie fielen im Laufe des Morgens (c. 223 2 ff.). — *ἐπὶ δέ*, temporal, *post autem*, wie IX 35 9 u. 11.

4. *ἦσαν οἱ*: vielmehr *ἦλθόν σφι*.

5. *οὗτοι*, Megistias und die Überläufer.

6. *ἡμεροσκόποι*: zu c. 182 12.

διακριθέντες οἳ μὲν ἀπαλλάσσοντο καὶ διασκεδασθέντες κατὰ πόλις ἕκαστοι ἐτράποντο, οἳ δὲ αὐτῶν ἅμα
220 Λεωνίδῃ μένειν αὐτοῦ παρεσκευάδατο. λέγεται δὲ ⟨καὶ⟩ ὡς αὐτός σφεας ἀπέπεμψε Λεωνίδης, μὴ ἀπόλωνται κηδόμενος· αὐτῷ δὲ καὶ Σπαρτιητέων τοῖσι παρεοῦσι οὐκ ἔχειν εὐπρεπέως ἐκλιπεῖν τὴν τάξιν ἐς τὴν ἦλθον φυ-
5 λάξοντες ἀρχήν. ταύτῃ καὶ αὐτὸς τὴν γνώμην πλεῖστος εἰμί, Λεωνίδην, ἐπείτε ᾐσθετο τοὺς συμμάχους ἐόντας ἀπροθύμους καὶ οὐκ ἐθέλοντας συνδιακινδυνεύειν, κελεῦσαι σφέας ἀπαλλάσσεσθαι, αὐτῷ δὲ ἀπιέναι οὐ καλῶς ἔχειν· μένοντι δὲ αὐτοῦ κλέος μέγα ἐλείπετο, καὶ
10 ἡ Σπάρτης εὐδαιμονίη οὐκ ἐξηλείφετο. ἐκέχρηστο γὰρ ὑπὸ τῆς Πυθίης τοῖσι Σπαρτιήτῃσι χρεωμένοισι περὶ τοῦ πολέμου τούτου αὐτίκα κατ' ἀρχὰς ἐγειρομένου, ἢ Λακεδαίμονα ἀνάστατον γενέσθαι ὑπὸ τῶν βαρβάρων ἢ τὸν βασιλέα σφέων ἀπολέσθαι. ταῦτα δέ σφι ἐν ἔπεσι
15 ἑξαμέτροισι χρᾷ λέγοντα ὧδε.

220. 4. ἔχειν, abhängig von λέγεται, wie 9 von τῇ γνώμῃ πλεῖστος εἰμί. Wollte man lieber aus κηδόμενος oder gar aus ἀπέπεμψε ein ἐνόμιζε oder ἔφη ergänzen, so müfste man Z. 3 αὐτῷ in ἑωυτῷ ändern oder οἳ zusetzen. — Vgl. c. 104 22.

5. τὴν γνώμην πλεῖστος εἰμί = πλεῖστος γινώσκω oder πλεῖστος τὴν γνώμην τίθεμαι, 'dieser Meinung neige auch ich mich entschieden zu'. Vgl. zu I 120 19, auch V 126 2. Bei zweifelhafter Sache teilt sich der überlegende Verstand gleichsam in zwei oder mehr Parteien, von denen eine zuletzt die *pars maior* oder *maxima* wird, was, auf das überlegende Subjekt selber angewandt, diese nur bei H. gelesene Redensart veranlafste, als versuchte man lat. *plurima mei pars ita sentit* (vgl. Hor. carm. III 30 6) oder *plurimus in hanc discedo partem*. Vergleichbar Aeschyl. Ag. 1330 ταύτην (sc. γνώμην) ἐπαινεῖν πάντοθεν πληθύνομαι (*undique compleor, maxime inclinat sententia*). Thuk. III 31 τὸ πλεῖστον τῆς γνώμης εἶχεν ὅτι τάχιστα τῇ Πελοποννήσῳ πάλιν προσμεῖξαι.

9. μένοντι – ἐλείπετο 'verharrte er aber daselbst, so blieb ihm grofser Nachruhm'. So überlegte nach H.'s Meinung der König; daher das Imperfekt.

10 ff. S. zu c. 238 10.

13 f. Die Aoriste γενέσθαι und ἀπολέσθαι nach ἐκέχρηστο, wie VIII 60 λόγιον ἐστὶ τῶν ἐχθρῶν κατύπερθε γενέσθαι. Thuk. III 96 χρησθὲν αὐτῷ ἐν Νεμέᾳ τοῦτο παθεῖν, u. s. Wie regelmäfsig bei χρῆν und ἔδει (I 8 8), steht bei diesen Ausdrücken der Aorist, insofern der Wille, die Anordnung des Schicksals oder der Gottheit angegeben wird. Vgl. auch zu c. 134 14.

15. λέγοντα: V 92 β χρηστήριον – λέγον ὧδε.

ὑμῖν δ', ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο,
ἢ μέγα ἄστυ ἐρικυδὲς ὑπ' ἀνδράσι Περσείδῃσι
πέρθεται, ἢ τὸ μὲν οὐχί, ἀφ' Ἡρακλέους δὲ γενέθλης
πενθήσει βασιλῆ φθίμενον Λακεδαίμονος οὖρος.
οὐ γὰρ τὸν ταύρων σχήσει μένος οὐδὲ λεόντων 20
ἀντιβίην· Ζηνὸς γὰρ ἔχει μένος· οὐδέ ἑ φημί
σχήσεσθαι, πρὶν τῶνδ' ἕτερον διὰ πάντα δάσηται.

ταῦτά τε δὴ ἐπιλεγόμενον Λεωνίδην, καὶ βουλόμενον κλέος καταθέσθαι μοῦνον Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμμάχους ⟨δοκέω⟩ μᾶλλον ἢ γνώμῃ διενειχθέντας οὕτω 25
ἀκόσμως οἴχεσθαι τοὺς οἰχομένους. μαρτύριον δέ μοι καὶ **221**
τόδε οὐκ ἐλάχιστον τούτου πέρι γέγονε, ὅτι καὶ τὸν μάντιν ὃς εἵπετο τῇ στρατιῇ ταύτῃ, Μεγιστίην τὸν Ἀκαρνῆνα, λεγόμενον εἶναι τὰ ἀνέκαθεν ἀπὸ Μελάμποδος, τοῦτον εἴπαντα ἐκ τῶν ἱρῶν τὰ μέλλοντά σφι 5
ἐκβαίνειν φανερός ἐστι Λεωνίδης ἀποπέμπων, ἵνα μὴ

16. ὑμῖν δ': der Gott wendet sich in der Reihenfolge seiner Antworten, die in ein äufserlich verbundenes Ganze zusammengestellt zu werden pflegten, jetzt an die lakonischen Abgesandten. Vgl. zu I 47 13.

17. Die Synizesis in ἄστυ ἐρικυδές ist so anomal und war so leicht zu umgehen (etwa ἠὲ πόλις μέγα κυδρή, oder ἢ ἄστυ μέγα κυδρον), dafs man sie selbst den übel berufenen Tempelpoeten (vgl. zu c. 140 10) kaum zutrauen mag, und die La. wohl nur durch Korruptel entstanden sein kann, etwa aus ἢ μέγα ἄστεος (zweisilbig) κῦδος, wovon dann oben 10 Σπάρτης εὐδαιμονίη eine Periphrase wäre. — Περσείδῃσι: vgl. zu I 125 14. VII 61 11.

19. Λακεδαίμονος οὖρος, nach dem homerischen οὖρος Ἀχαιῶν, nämlich Σπάρτη. Falls nicht οὖρον zu lesen ist.

20. τόν, sc. τὸν ἐπιόντα, auf den die Frage gieng. — ταύρων – λεόντων, Anspielung auf den c. 126 2 berührten Umstand. In so kleinmütiger Stimmung ist auch das Orakel an die Athener (c. 140) abgefafst.

21 f. Ζηνός: vgl. c. 56 6. — Il. ρ 502 οὐ γὰρ ἔγωγε Ἕκτορα Πριαμίδην μένος σχήσεσθαι ὀΐω, πρὶν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω. — τῶνδε, sc. βασιλέος καὶ ἄστεος. — διὰ – δάσηται, von διαδαιτέομαι. Der Feind ist wie ein reifsendes und verschlingendes Ungetüm gedacht. Vgl. c. 140. Auch wohl Anspielung auf c. 238 3.

24. καταθέσθαι 'einlegen, erwerben' (VI 41 14. IX 78 6).

221. 4 f. τὰ ἀνέκαθεν, seitens seiner Vorfahren (V 55 6). — Μελάμποδος: zu II 49 1.

6. H. hatte als sichere Nachricht (φανερός ἐστι) erfahren, dafs Leonidas den Opferdeuter, da dieser ihm den Ausfall der Opferschau gemeldet (εἴπαντα), zum Weggehen aufgefordert (ἀποπέμπων, part. imperf.), ihn aber nicht dazu bewegen können. S. 228 12 ff.

συναπόληται σφι. ὃ δὲ ἀποπεμπόμενος αὐτὸς μὲν οὐκ ἀπέλιπε, τὸν δὲ παῖδα συστρατευόμενον, ἐόντα οἱ μουνογενέα, ἀπέπεμψε.

222 Οἱ μέν νυν σύμμαχοι οἱ ἀποπεμπόμενοι οἴχοντό τε ἀπιόντες καὶ ἐπείθοντο Λεωνίδῃ, Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι. τούτων δὲ Θηβαῖοι μὲν ἀέκοντες ἔμενον καὶ οὐ βουλόμενοι· κατεῖχε γὰρ σφέας Λεωνίδης ἐν ὁμήρων λόγῳ ποιεύμενος· Θεσπιέες δὲ ἑκόντες μάλιστα, οἳ οὐκ ἔφασαν ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετ' αὐτοῦ ἀπαλλάξεσθαι, ἀλλὰ καταμείναντες συναπέθανον. ἐστρατήγεε δὲ αὐτῶν Δημόφιλος Διαδρόμεω.

223 Ξέρξης δὲ ἐπεὶ ἡλίου ἀνατείλαντος σπονδὰς ἐποιήσατο, ἐπισχὼν χρόνον ἐς ἀγορῆς κου μάλιστα πληθώρην πρόσοδον ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω οὕτω· ἀπὸ γὰρ τοῦ ὄρεος ἡ κατάβασις συντομωτέρη τε ἐστὶ καὶ βραχύτερος ὁ χῶρος πολλὸν ἢ περ ἡ περίοδός τε καὶ ἀνάβασις. οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξην προσήισαν, καὶ οἱ ἀμφὶ Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι, ἤδη πολλῷ μᾶλλον ἢ κατ' ἀρχὰς ἐπεξήισαν ἐς τὸ εὐρύτερον τοῦ αὐχένος. τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος ἐφυλάσσετο, οἱ δὲ ἀνὰ

8. *ἀπέλιπε*, sc. *Λεωνίδην* (c. 222 7. 228 15); absolut c. 170 9.

222. 2. Nach Pausanias X 20 2 blieben auch die Mykenäer.

5. *ἐν ὁμήρων λόγῳ ποιεύμενος, obsidum loco.* Plutarch. mor. 865 weist die Widersprüche dieser Begründung auf. 'Waren die Thebäer dem Könige verdächtig, wie durfte er sie in seiner Bedrängnis gewaltsam festzuhalten denken? und zu welchem Zwecke? Erhöhte er damit nicht seine eigene Gefahr? Warum gab er sie nicht den Abziehenden zur Bewachung mit? Oder, wenn er hoffte, sie würden auch widerwillig kämpfen, machte er sie dann nicht des Ruhmes teilhaftig, den er seinen Landsleuten vorbehielt?' Nur darf auch hier nicht mit Plutarch an Abgunst des Vf. gegen die Thebäer überhaupt gedacht werden.

223. Vgl. c. 54 5.

2. *ἀγορῆς – πληθώρην*: zu II 173 3. Es sind die Morgenstunden vor Mittag.

3. *πρόσοδον ἐποιέετο = προσήιε* (7), *προσέβαλλε.*

9. *ἐς τὸ εὐρύτερον*, wo sich die Enge (*αὐχήν*, vgl. zu I 72 12) nach Trachis zu öffnete, *ἔξω τῶν στεινῶν* (12).

10f. *τὸ – ἐφυλάσσετο* wäre besser dem Folgenden untergeordnet (*τοῦ μὲν γὰρ ἐρύματος – φυλασσομένου ἀνὰ τ. πρ. ἡμ. – ἐμάχοντο*), wegen des auf beide Glieder bezüglichen *ἀνὰ τὰς προτέρας ἡμέρας*, oder diese Worte an die Spitze gestellt. Vielleicht stand *οἱ δὲ* hinter *ἡμέρας*. Während ein Teil des Heeres an der Schanzwehr zurückblieb, verteidigte ein anderer die vorliegende Enge. — *ὑπεξιόντες*, Ggs. zu *ἐπεξήισαν*; hatten sie vorher den Feind durch verstellte Flucht in die Enge herangelockt (c. 211), so suchten sie ihn jetzt im Freien auf.

12. *τότε δὲ – στεινῶν* steht in Ggs. zu *ἀνὰ – ἐμάχοντο*. Um so befremdender der plötzliche Übergang zu *βάρβαροι* als Subjekt, zumal *ἔπιπτον πολλοί* doch auch für die vorhergehenden Tage gilt. Hinter *στεινῶν* ist also eine Lücke. Die Worte *ἔπιπτον – 18 ἀπολλυμένου* könnten auch c. 210 7 stehen und scheinen erst nachträglich geschrieben zu sein. Mit gleicher Härte wechselt das Subjekt wieder Z. 18.

τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς τὰ στεινόπορα ἐμάχοντο. τότε δὲ συμμίσγοντες ἔξω τῶν στεινῶν ... ἔπιπτον πλήθεϊ πολλοὶ τῶν βαρβάρων· ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας ἐρράπιζον πάντα ἄνδρα αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτῶν ἐς τὴν θάλασσαν καὶ διεφθείροντο, πολλῷ δ' ἔτι πλεῦνες κατεπατέοντο ζωοὶ ὑπ' ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου. ἅτε γὰρ ἐπιστάμενοι τὸν μέλλοντα σφίσι ἔσεσθαι θάνατον ἐκ τῶν περιιόντων τὸ ὄρος, ἀπεδείκνυντο ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεώμενοί τε καὶ ἀτέοντες. δόρατα **224** μέν νυν τοῖσι πλέοσι αὐτῶν τηνικαῦτα ἤδη ἐτύγχανε κατεηγότα, οἳ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς Πέρσας. καὶ Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει ἀνὴρ γενόμενος ἄριστος καὶ ἕτεροι μετ' αὐτοῦ ὀνομαστοὶ Σπαρτιητέων, τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην τὰ οὐνόματα, ἐπυθόμην δὲ καὶ ἁπάντων τῶν

14. *τελέων*: zu c. 81 6.

16. *θάλασσαν*: zu c. 176 15.

18. *τοῦ ἀπολλυμένου*, wohl kollektiv = *τῶν ἀπολλυμένων* zu nehmen (I 97 1).

21. *παραχρεώμενοι* 'rücksichtslos, geringschätzig', gegen Gefahr und Tod. S. zu I 108 15. — *ἀτέοντες = ἐν ἄτῃ ἐόντες, λυσσῶντες* (IX 71 15). Denn *ἄτη* bezeichnet überhaupt jeden durch Affekt beherrschten und geblendeten Zustand des Geistes, hier 'blinde Wut'. Noch Il. υ 332 *Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει Ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι;*

224. 2. *τηνικαῦτα*, an diesem Tage.

4. *τε*: entsprechend *καὶ δή* (8).

6. *ἀξίων γενομένων* 'die es verdient haben', sc. *πυθέσθαι τὰ οὐνόματα αὐτῶν* (vgl. II 79 3. VII 96 7); falls nicht *λόγου* ausgefallen (c. 211 10. VIII 91 3).

7. Im J. 440 wurden des Königs Reste nach Sparta gebracht und auf seinem Grabe eine Stele er-

τριηκοσίων· καὶ δὴ Περσέων πίπτουσι ἐνθαῦτα ἄλλοι τε πολλοὶ καὶ ὀνομαστοί, ἐν δὲ δὴ καὶ Λαρείου δύο παῖδες Ἀβροκόμης τε καὶ Ὑπεράνθης, ἐκ τῆς Ἀρτάνεω θυγατρὸς Φραταγούνης γεγονότες Λαρείῳ. ὁ δὲ Ἀρτάνης Λαρείου μὲν τοῦ βασιλέος ἦν ἀδελφεός, Ὑστάσπεος δὲ τοῦ Ἀρσάμεος παῖς· ὃς καὶ ἐκδιδοὺς τὴν θυγατέρα Λαρείῳ τὸν οἶκον πάντα τὸν ἑωυτοῦ ἐπέδωκε, ὡς μούνης οἱ ἐούσης ταύτης τέκνου. // Ξέρξεώ τε δὴ δύο ἀδελφεοὶ ἐνθαῦτα πίπτουσι μαχόμενοι, ... ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω Περσέων τε καὶ Λακεδαιμονίων ὠθισμὸς ἐγίνετο πολλός, ἐς ὃ τοῦτόν τε ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν καὶ ἐτρέψαντο τοὺς ἐναντίους τετράκις. τοῦτο δὲ συνεστήκεε μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο. ὡς δὲ τούτους ἤκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ νεῖκος· ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ ἀνεχώρεον ὀπίσω, καὶ παραμειψάμενοι τὸ τεῖχος ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἀλέες οἱ ἄλλοι πλὴν Θηβαίων. ὁ δὲ κολωνὸς ἐστὶ ἐν τῇ ἐσόδῳ, ὅκου νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ. ἐν τούτῳ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι, τοῖσι αὐτῶν ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι κατέχωσαν οἱ βάρβαροι βάλλοντες, οἱ μὲν ἐξ ἐναντίης

225

richtet mit den Namen der dreihundert (Paus. III 14 1); dort wird sie H. gelesen haben.

11. *Φραταγούνη*, beï Späteren *Ῥοδογούνη*, (Altpersisch *vard* od. *vrad* = *ῥόδον*),

14. *οἶκος* 'Vermögen' (III 53 12).

225. 3. Vgl. Il. *ρ* 274ff.

6. *τοῦτο συνεστήκεε* 'dieser Kampf währte'. Zu I 74 8. 208 1. — *παρεγένοντο*, vor der östlichen Enge, welche man, auffallend genug, ohne Deckung gelassen hatte. Möglich dafs auch die überragenden Felsen vom Feinde besetzt waren (Liv. XXXVI 18 *ni Porcius ab iugo Callidromi — super imminentem castris collem apparuisset*) und dadurch die Verteidigung hoffnungslos ward.

8. *νεῖκος* 'Kampf' (III 62 12).

11. Zwischen der östlichen Enge und den warmen Quellen (c. 176 16) steht links vom Wege ein isolierter Hügel, den man für den hier erwähnten hält.

12. *λέων*: vgl. zu V 92 *β* 19. Dabei ist ein Bezug auf den Namen des Königs (zu c. 204 3) nicht zu bezweifeln. — *ἐπὶ Λεωνίδῃ, in honorem Leonidae*. Od. *ω* 91 *ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ' ἄεθλα*, Il. *ψ* 776 *ἐπὶ Πατρόκλῳ πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς*.

ἐπισπόμενοι καὶ τὸ ἔρυμα τοῦ τείχεος συγχώσαντες, οἳ δὲ περιελθόντες πάντοθεν περισταδόν.

Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων ὅμως λέγεται ἀνὴρ ἄριστος γενέσθαι Σπαρτιήτης Διηνέκης· τὸν τόδε φασὶ εἰπεῖν τὸ ἔπος πρὶν ἢ συμμεῖξαι σφέας τοῖσι Μήδοισι, πυθόμενον πρός τευ τῶν Τρηχινίων ὡς, ἐπεὰν οἱ βάρβαροι ἀπιέωσι τὰ τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος τῶν ὀιστῶν ἀποκρύπτουσι· τοσοῦτο πλῆθος αὐτῶν εἶναι. τὸν δὲ οὐκ ἐκπλαγέντα τούτοισι εἰπεῖν ἐν ἀλογίῃ ποιεύμενον τὸ Μήδων πλῆθος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος ἀγγέλλοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον ὑπὸ σκιῇ ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη καὶ οὐκ ἐν ἡλίῳ. ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεα φασὶ Διηνέκεα τὸν Λακεδαιμόνιον λιπέσθαι μνημόσυνα· μετὰ δὲ τοῦτον ἀριστεῦσαι λέγονται Λακεδαιμόνιοι δύο ἀδελφεοί, Ἀλφεός τε καὶ Μάρων Ὀρσιφάντου παῖδες. Θεσπιέων δὲ εὐδοκίμεε μάλιστα τῷ οὔνομα ἦν Διθύραμβος Ἁρματίδεω.

226

227

Θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ τῇ περ ἔπεσον, καὶ τοῖσι πρότερον τελευτήσασι . . . ἢ ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἴχεσθαι, ἐπιγέγραπται γράμματα λέγοντα τάδε.

228

16. *συγχῶσαι* im Sinne von *συγχέαι* (*diruere, distruere*) auch VIII 71 7. 144 12. IX 13 12.

Einzelne Heldenthaten. Inschriften. Strafe der Entronnenen. Übergabe der Thebäer (c. 226—233).

226. 4. *πρός τευ τῶν*: von der Wortstellung zu V 12 17.

6. *πλήθεος*: Eustathios citiert *νέφους*.

7. *τὸν — εἰπεῖν*, aus Z. 3 aufgenommen.

9. *πάντα* 'lauter'. Ebenso I 126 16 f.

11. *ἐν ἡλίῳ*, wie, ohne diesen unerwarteten Umstand, unvermeidlich war. Vgl. zu dem scheinbaren Pleonasmus VII 46 *πολλάκις καὶ οὐκὶ ἅπαξ*, 222 *ἀέκοντες ἔμενον καὶ οὐ βουλόμενοι*, IX 17 *οὐκ ἑκόντες ἀλλ' ὑπ' ἀναγκαίης*, auch zu III 25 6.

227. *τοιουτότροπα*: vgl. II 49 15.

4. *Ἀλφεός* dor. = *Ἀλφειός*.

228. *Θαφθεῖσι* bezieht sich auf die errichteten Grabmäler; s. zu III 55 12. — *τῇ περ ἔπεσον*, die letzten Kämpfer (c. 225 10). Doch hatten die Perser auch die übrigen Leichen auf den Hügel zusammengetragen (VIII 25 9)

2. Vor *ἤ* fehlt *τῶν συμμάχων* od. *τῶν Ἑλλήνων*.

μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.
ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται, τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ
ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.
Λακεδαιμονίοισι μὲν δὴ τοῦτο, τῷ δὲ μάντι τόδε.
μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδώς
οὐκ ἔτλη Σπάρτης ἡγεμόνα προλιπεῖν.
ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτύονες εἰσὶ σφέας οἱ ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεος ἐστὶ κατὰ ξεινίην ὁ ἐπιγράψας.

229 Δύο δὲ τούτων τῶν τριηκοσίων λέγεται Εὔρυτόν

5 f. Die Fassung der Inschrift (ἐμάχοντο) umgeht den unrühmlichen Umstand, dafs von dem peloponnesischen Auszuge allein die Spartiaten sämtlich, die anderen nur in geringer Zahl zurückgeblieben waren. Sie läfst verstehen dafs die 4000 sämtlich gefallen und begraben seien, und so hat sie H. offenbar verstanden (vgl. VIII 25 10). — *μυριάσιν – τριηκοσίαις*: vgl. c. 185 15. — *ἐκ Πελοποννάσου*: die Thespieer fehlen hier, müssen aber wohl mitgerechnet sein (*τοῖσι πᾶσι* 7, vgl. VIII 25 5); denn die Peloponnesier waren, die Heloten ungerechnet, überhaupt nur 3100 an Zahl (c. 202). Gewifs hatten sie auch noch eine besondere Stele, wie die opuntischen Lokrer. Strab. p. 425 *ὁ δ' Ὀποῦς ἐστι μητρόπολις, καθάπερ καὶ τὸ ἐπίγραμμα δηλοῖ τὸ ἐπὶ τῇ πρώτῃ τῶν πέντε στηλῶν τῶν περὶ Θερμοπύλας ἐπιγεγραμμένον πρὸς τῷ πολυανδρίῳ „τούσδε ποθεῖ φθιμένους ὑπὲρ Ἑλλάδος ἀντία Μήδων Μητρόπολις Λοκρῶν εὐθυνόμων Ὀπόεις."* Auch steht Anthol. Pal. Append. 94 ein Epigramm des Megareers Philiadas auf die gefallenen Thespieer: *Ἄνδρες τοί ποτ' ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος, Ἀήματα τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος.*

10. *ῥήμασι*, Satzungen, *νόμοισι*. In späteren Citaten *πειθόμενοι νομίμοις*.

16. *ἔξω ἢ* wie II 3 8, *πλὴν ἢ* II 111 18. — *τὸ – ἐπίγραμμα* steht aufserhalb der Konstruktion des Hauptsatzes, ist aber ebenfalls abhängig von *ἐπικοσμήσαντες*, das auch ein sachliches Objekt regieren kann. Das regelrechte *τῷ – ἐπιγράμματι* würde eine unzulässige Beziehung auch dieser Inschrift auf *σφέας* bewirken.

19. *ὁ ἐπιγράψας*, auf seine Kosten. Er liefs auch die Stele errichten. Verfafst sollen auch die beiden anderen Epigramme von Simonides sein.

τε καὶ Ἀριστόδημον, παρεὸν αὐτοῖσι ἀμφοτέροισι κοινῷ λόγῳ χρησαμένοισι ἢ ἀποσωθῆναι ὁμοῦ ἐς Σπάρτην, ὡς μεμετιμένοι γε ἦσαν ἐκ τοῦ στρατοπέδου ὑπὸ Λεωνίδεω καὶ κατεκέατο ἐν Ἀλπηνοῖσι ὀφθαλμιῶντες ἐς τὸ ἔσχατον, ἢ εἴ γε μὴ ἐβούλοντο νοστῆσαι, ἀποθανεῖν ἅμα τοῖσι ἄλλοισι, παρεόν σφι τούτων τὰ ἕτερα ποιέειν, οὐκ ἐθελῆσαι ὁμοφρονέειν, ἀλλὰ γνώμῃ διενειχθέντας Εὔρυτον μέν, πυθόμενον τῶν Περσέων τὴν περίοδον, αἰτήσαντά τε τὰ ὅπλα καὶ ἐνδύντα ἄγειν ἑωυτὸν κελεῦσαι τὸν εἴλωτα ἐς τοὺς μαχομένους, ὅκως δὲ αὐτὸν ἤγαγε, τὸν μὲν [ἀγαγόντα] οἴχεσθαι φεύγοντα, τὸν δὲ ἐσπεσόντα ἐς τὸν ὅμιλον διαφθαρῆναι, Ἀριστόδημον δὲ λιποψυχέοντα λειφθῆναι. εἰ μέν νυν ἦ μοῦνον Ἀριστόδημον ἀλογήσαντα ἀπονοστῆσαι ἐς Σπάρτην, ἦ καὶ ὁμοῦ σφεων ἀμφοτέρων τὴν κομιδὴν γενέσθαι, δοκέειν ἐμοί, οὐκ ἄν σφι Σπαρτιήτας μῆνιν οὐδεμίαν προσθέ-

229. 2. *κοινῷ λόγῳ χρησάμενοι* = *ὁμοφρονήσαντες* (8), *communi consilio* (V 63 15).

7. *παρεόν σφι – ποιέειν*, Epanalepsis der umfangreichen Vorderglieder. — *τὰ ἕτερα ποιέειν*: der Plural wie V 1 10.

10 f. *τὸν εἴλωτα*: 'Von den ihren Herren beigeordneten Heloten (s. zu c. 186 5. IX 10 4. 28 10) war einer vorzugsweise der *θεράπων* seines Herrn. *θεράπων* ist der eigentliche und zwar sehr ehrenvolle Ausdruck, mit dem die Dorier den waffentragenden Knappen bezeichneten. Sonst scheint es, dafs die Heloten im Felde unter näherem und unmittelbarerem Befehl des Königs standen als das übrige Heer (Her. VI 80. 81).' Müller Dor. II 38. Vgl. VI 75 12. IX 80 3. Ihre Anzahl bei Thermopylä ist ganz unsicher. Nach VIII 25 6 u. 10 müfsten ihrer etwa 3000 gewesen sein, wenn nicht die dortige Angabe auf einem herkömmlichen Mifsverständnisse beruhte. Eine grofse Schar Leichtbewaffneter wäre in dem beschränkten Lokal ohne Vorteil und bei der schwierigen Verpflegung nur eine Last gewesen. — *ὅκως = ὡς, ἐπείτε*. Noch I 68 29. IX 66 9; sonst als temporale Konjunktion nur wie I 11 6.

14 f. Statt *λιποψυχέοντα* vermutet Valckenaer *φιλοψυχέοντα* (vgl. VI 29 8). Tyrtäos Fr. X 7 *μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι*). — *λειφθῆναι*: zu c. 153 8. — In der Annahme *εἰ – Σπάρτην*, 'wäre Aristodemos allein in Sinnbethörung nach Sparta zurückgekehrt', liegt eingeschlossen 'hätte er überhaupt keinen Gefährten gehabt'. — Der Infinitiv des Hauptsatzes, abhängig von *δοκέειν* (s. zu c. 3 17), ist, nach dem häufigen Gebrauche Herodots (s. zu I 24 30), auch auf den Vordersatz ausgedehnt.

17. *σφι*, formal genau, weil in der zweiten Hypothesis von beiden geredet wird; aber sachlich ungenau, weil der Zorn nur einen traf. — *προστίθεσθαι* 'anthun'; denn

σθαι· νυνὶ δὲ τοῦ μὲν αὐτῶν ἀπολομένου, τοῦ δὲ τῆς μὲν αὐτῆς ἐχομένου προφάσιος οὐκ ἐθελήσαντος δὲ ἀποθνήσκειν, ἀναγκαίως σφι ἔχειν μηνῖσαι μεγάλως Ἀριστοδήμῳ. οἱ μέν νυν οὕτω σωθῆναι λέγουσι Ἀριστόδημον ἐς Σπάρτην καὶ διὰ πρόφασιν τοιήνδε, οἱ δὲ ἄγγελον πεμφθέντα ἐκ τοῦ στρατοπέδου, ἐξεὸν αὐτῷ καταλαβεῖν τὴν μάχην γινομένην οὐκ ἐθελῆσαι, ἀλλ' ὑπομείναντα ἐν τῇ ὁδῷ περιγενέσθαι, τὸν δὲ συνάγγελον αὐτοῦ ἀπικόμενον ἐς τὴν μάχην ἀποθανεῖν. ἀπονοστήσας δὲ ⟨ὢν⟩ ἐς Λακεδαίμονα ὁ Ἀριστόδημος εἶχε ὄνειδός τε καὶ ἀτιμίην· πάσχων δὲ τοιάδε ἠτίμωτο· οὔτε οἱ πῦρ οὐδεὶς ἔναυε Σπαρτιητέων οὔτε διελέγετο· ὄνειδος δὲ εἶχε ὁ τρέσας Ἀριστόδημος καλεόμενος. ἀλλ' ὃ μὲν ἐν τῇ ἐν Πλαταιῇσι μάχῃ ἀνέλαβε πᾶσαν τὴν ἐπενειχθεῖσαν ⟨οἱ⟩ αἰτίην· λέγεται δὲ καὶ ἄλλον ἀποπεμφθέντα ἄγγελον ἐς Θεσσαλίην τῶν τριηκοσίων τούτων περιγενέσθαι, τῷ οὔνομα εἶναι Παντίτην· νοστήσαντα δὲ τοῦτον ἐς Σπάρτην, ὡς ἠτίμωτο, ἀπάγξασθαι.

μῆνις bezeichnet hier nicht sowohl die erbitterte Stimmung als ihren Erfolg, die Strafe. Vgl. IV 65 12. VII 11 4. Eurip. Hek. 742 *ἄλγος ἂν προσθείμεθα* (*αὐτῷ*). Soph. O. K. 767 *οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν.*

18 f. *νυνί*, das einzige Beispiel des *ι δεικτικόν* bei H., ohne darum verdächtig zu sein. Wie hier in Gegensatz zu einer Hypothese, auch Isäos I 30 *εἰ μὲν – ἐτελεύτησεν .. νυνὶ δὲ πᾶν τοὐναντίον εὑρήσετε.* — *τῆς – προφάσιος* 'indem er sich an denselben Entschuldigungsgrund hielt'. Der Ausdruck (vgl. IV 94 6) hat, speciell auf den zweiten bezogen, eine tadelnde Wendung genommen, die aber durch *τῆς αὐτῆς* ohne Absicht auch auf den ersten zurückwirkt. Der Vf. will sagen: 'ohne dafs er einen anderen oder triftigeren Grund als sein Genosse anzuführen vermochte.' Er war genau in derselben Lage wie jener. Die *πρόφασις* ist in Z. 4 f. enthalten.

231. 3 f. *πάσχων δὲ τοιάδε* definiert den Umfang und den Begriff der Atimie, die, je nach dem Vergehen, einen völligen oder teilweisen Verlust der politischen und privaten Rechte und Vorteile bezeichnen konnte. Einen höheren Grad der einen spartiatischen 'Ausreifser' treffenden Atimie beschreiben Xen. resp. Lac. IX 4 f. Plut. Ages. 30. — *πῦρ ἐναύειν*, der gewohnte Ausdruck von dieser sonst unerläfslichen Nächstenpflicht (*pati de igne ignem capere*, Cic. off. I 52).

5. *τρέσας*, nach homerischem Gebrauche = *φυγών*, 'Ausreifser'. So hiefsen in Sparta überhaupt *οἱ ἐν τῇ μάχῃ καταδειλιάσαντες* (Plut. a. O.), wohl nach dem Verse des Tyrtäos Fr. X 14 *τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.*

232. 2. *ἀνέλαβε*, *reparavit* (V 121 1). Soph. Phil. 1248 *τὴν ἁμαρτίαν Αἰσχρὰν ἁμαρτὼν ἀναλαβεῖν πειράσομαι.* Zur Sache IX 71.

Οἱ δὲ Θηβαῖοι, τῶν ὁ Λεοντιάδης ἐστρατήγεε, τέως **233** μὲν μετὰ τῶν Ἑλλήνων ἐόντες ἐμάχοντο ὑπ' ἀναγκαίης ἐχόμενοι πρὸς τὴν βασιλέος στρατιήν· ὡς δὲ εἶδον κατυπέρτερα τῶν Περσέων γινόμενα τὰ πρήγματα, οὕτω δή, τῶν σὺν Λεωνίδῃ Ἑλλήνων ἐπειγομένων ἐπὶ τὸν κολωνόν, ἀποσχισθέντες τούτων χεῖράς τε προέτεινον καὶ ἧισαν ἆσσον τῶν βαρβάρων, λέγοντες τὸν ἀληθέστατον τῶν λόγων, ὡς καὶ μηδίζουσι καὶ γῆν τε καὶ ὕδωρ ἐν πρώτοισι ἔδοσαν βασιλέι, ὑπὸ δὲ ἀναγκαίης ἐχόμενοι ἐς Θερμοπύλας ἀπικοίατο καὶ ἀναίτιοι εἶεν τοῦ τρώματος τοῦ γεγονότος βασιλέι. ὥστε ταῦτα λέγοντες περιεγίνοντο· εἶχον γὰρ καὶ Θεσσαλοὺς τούτων τῶν λόγων μάρτυρας. οὐ μέντοι τά γε πάντα εὐτύχησαν· ὡς γὰρ αὐτοὺς ἔλαβον οἱ βάρβαροι ἐλθόντας, τοὺς μὲν τινὰς καὶ ἀπέκτειναν προσιόντας, τοὺς δὲ πλεῦνας αὐτῶν κελεύσαντος Ξέρξεω ἔστιζον στίγματα βασιλήια, ἀρξάμενοι ἀπὸ τοῦ στρατηγοῦ Λεοντιάδεω, τοῦ τὸν παῖδα Εὐρύμαχον χρόνῳ μετέπειτα ἐφόνευσαν Πλαταιέες στρατηγήσαντα ἀνδρῶν Θηβαίων τετρακοσίων καὶ σχόντα τὸ ἄστυ τὸ Πλαταιέων.

233. 6. *ἀποσχισθέντες* 'nachdem sie sich abgesondert' (I 58 3). — *χεῖρας προέτεινον*, als Zeichen ihrer Übergabe (I 45 4).

7. *τὸν ἀληθέστατον τῶν λόγων*, wie c. 104 4.

9. *ἐν πρώτοισι*, sc. *τῶν Ἑλλήνων*. VIII 94 21. IX 86 4 mit Genitiv, ebenso *ἐν ὀλίγοισι* IX 41 6.

11. *τρώματος*, *cladis* (I 18 2). — *ὥστε*: ebenso II 79 7. IX 122 18.

16. Vgl. c. 35 4. *ἔστιζον*, mit glühender Eisenspitze auf die Stirn. Plut. Perikl. 26 *οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας.* Nik. 29 (Συρακόσιοι) *τούτους ὡς οἰκέτας ἐπώλουν στίζοντες ἵππον εἰς τὸ μέτωπον.* — *βασιλήια*, den Namen oder das Wappen des Königs. Paul. Galat. VI 17 *ἐγὼ γὰρ τὰ στίγματα τοῦ Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω.* Curt. V 5 *Captivi Graeci .. quos Persae .. inustis barbararum litterarum notis cet.*

18. Ausführlich und genauer Thuk. II 2 ff. (vgl. Ps.-Demosth. in Neaer. 99) *μετὰ τὴν ἐν Ποτιδαίᾳ μάχην μηνὶ ἕκτῳ καὶ ἅμα ἦρι ἀρχομένῳ* (Anfang April 431) *Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων (ἡγοῦντο δὲ αὐτῶν βοιωταρχοῦντες Πυθάγγελός τε ὁ Φυλείδου καὶ Διέμπορος ὁ Ὀγχηστορίδου) ἐσῆλθον περὶ πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς Πλάταιαν τῆς Βοιωτίας οὖσαν Ἀθηναίων ξυμμαχίδα . . . ἐπηγάγοντο δὲ καὶ ἀνέῳξαν τὰς πύλας*

234 Οἱ μὲν δὴ περὶ Θερμοπύλας Ἕλληνες οὕτω ἠγωνίσαντο, Ξέρξης δὲ καλέσας Δημάρητον εἰρώτα ἀρξάμενος ἐνθένδε. „Δημάρητε, ἀνὴρ εἶς ἀγαθός. τεκμαίρομαι δὲ τῇ ἀληθείῃ· ὅσα γὰρ εἶπας, ἅπαντα ἀπέβη οὕτω. νῦν δέ μοι εἰπέ, κόσοι τινὲς εἰσὶ οἱ λοιποὶ Λακεδαιμόνιοι, καὶ τούτων ὁκόσοι τοιοῦτοι τὰ πολέμια, εἴτε καὶ ἅπαντες." ὁ δ' εἶπε „ὦ βασιλεῦ, πλῆθος μὲν πολλὸν πάντων τῶν Λακεδαιμονίων καὶ πόλιες πολλαί· τὸ δὲ θέλεις ἐκμαθεῖν, εἰδήσεις. ἔστι ἐν τῇ Λακεδαίμονι Σπάρτη πόλις ἀνδρῶν ὀκτακισχιλίων μάλιστά κῃ· οὗτοι πάντες εἰσὶ ὅμοιοι τοῖσι ἐνθάδε μαχεσαμένοισι· οἵ γε μὲν ἄλλοι Λακεδαιμόνιοι τούτοισι μὲν οὐκ ὅμοιοι, ἀγαθοὶ δέ." εἶπε πρὸς ταῦτα Ξέρξης „Δημάρητε, τέῳ τρόπῳ ἀπονητότατα τῶν ἀνδρῶν τούτων ἐπικρατήσο-

Πλαταιῶν ἄνδρες Ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ, βουλόμενοι ἰδίας ἕνεκα δυνάμεως ἄνδρας τε τῶν πολιτῶν τοὺς σφίσιν ὑπεναντίους διαφθεῖραι καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι. ἔπραξαν δὲ ταῦτα δι' Εὐρυμάχου τοῦ Λεοντιάδου ἀνδρὸς Θηβαίων δυνατωτάτου κτλ. ἦσαν δὲ ὀγδοήκοντα καὶ ἑκατὸν οἱ ληφθέντες, καὶ Εὐρύμαχος εἷς αὐτῶν ἦν, πρὸς ὃν ἔπραξαν οἱ προδιδόντες. — Ein Leontiades war es auch, der hundert Jahre später Theben an Phöbidas verriet. — *στρατηγήσαντα*: auch Ps.-Demosth. a. O. sagt von ihm *βοιωταρχοῦντος*, aber ebenso irrig, wie die Darstellung des Thukydides erweist.

Xerxes berät mit Demaratos und Achämenes. Mifshandlung der Leiche des Leonidas. Geheime Botschaft des Demaratos (c. 234—239).

234. 4. *τῇ ἀληθείῃ*, aus der Wirklichkeit, den Thatsachen, *τῷ ἐόντι* (c. 237 7).

5 f. *οὕτω*, sc. *ὡς εἶπας*. — *κόσοι – ὁκόσοι*: zu I 35 9.

7. *εἴτε*, parallel zu *ὁκόσοι*, wie II 53 2 zu *ὅθεν* und *ὁκοῖοι*.

8. Mit Einschlufs von Messene und Kynuria zählte das Land in abgerundeter Zahl hundert Städte d. h. selbständige Gemeinwesen. Strab. p. 362 *ἔξω γὰρ τῆς Σπάρτης αἱ λοιπαὶ πολίχναι τινὲς εἰσὶ περὶ τριάκοντα τὸν ἀριθμόν· τὸ δὲ παλαιὸν ἑκατόμπολιν φασὶν αὐτὴν καλεῖσθαι.* Noch sind die Namen von über 60 bekannt.

9 f. *Λακεδαίμονι*: s. VI 58 13. — *ἀνδρῶν*, im kriegspflichtigen Alter (*ἔμφρουροι*) vom 20.—60. Jahre. Die Zahl 8000 ist sehr mäfsig bei 9000 Hausständen (*κλῆροι*). Aristot. Pol. II 9 *καὶ φασὶν εἶναι ποτὲ τοῖς Σπαρτιάταις καὶ μυρίους* (*ὁπλίτας*). Bei Platää kämpften 5000 (IX 10 13. 28 9); im Jahre 418 konnte die Stadt noch über 5000 Waffenfähige aufbieten (Thuk. V 64. 68, der aber bemerkt: *τὸ μὲν γὰρ Λακεδαιμονίων πλῆθος διὰ τῆς πολιτείας τὸ κρυπτὸν ηγνοεῖτο*).

12. *ἄλλοι*, die Periöken und eigentlichen Lakedämonier. Sie stellten mindestens gleichviel Hopliten (IX 11 19. 28 8).

μεν; ἴθι ἐξηγέο· σὺ γὰρ ἔχεις αὐτῶν τὰς διεξόδους τῶν βουλευμάτων οἷα βασιλεὺς γενόμενος." ὁ δ' ἀμεί- **235** *βετο „ὦ βασιλεῦ, εἰ μὲν δὴ συμβουλεύεαί μοι προθύμως, δίκαιόν με σοὶ ἐστὶ φράζειν τὸ ἄριστον· εἰ τῆς ναυτικῆς στρατιῆς νέας τριηκοσίας ἀποστείλειας ἐπὶ τὴν Λάκαιναν χώρην. ἔστι δὲ ἐπ' αὐτῇ νῆσος ἐπικειμένη τῇ οὔνομα ἐστὶ Κύθηρα, τὴν Χίλων ἀνὴρ παρ' ἡμῖν σοφώτατος γενόμενος κέρδος μέζον ⟨ἂν⟩ ἔφη εἶναι Σπαρτιήτῃσι κατὰ τῆς θαλάσσης καταδεδυκέναι μᾶλλον ἢ ὑπερέχειν, αἰεί τι προσδοκῶν ἀπ' αὐτῆς τοιοῦτο ἔσεσθαι οἷόν τοι ἐγὼ ἐξηγέομαι, οὔτι τὸν σὸν στόλον προειδώς, ἀλλὰ πάντα ὁμοίως φοβεόμενος ἀνδρῶν στόλον. ἐκ ταύτης τῆς νήσου ὁρμώμενοι ⟨οἱ σοὶ⟩ φοβεόντων τοὺς Λακεδαιμονίους. παροίκου δὲ πολέμου σφι ἐόντος οἰκηίου, οὐδὲν δεινοὶ ἔσονταί τοι μὴ τῆς ἄλλης Ἑλλάδος ἁλισκομένης ὑπὸ τοῦ πεζοῦ βοηθέωσι ταύτῃ. καταδουλωθείσης δὲ τῆς ἄλλης Ἑλλάδος ἀσθενὲς ἤδη τὸ Λακωνικὸν μοῦνον λείπεται, ἢν δὲ ταῦτα μὴ ποιέῃς, τάδε τοι προσδόκα ἔσεσθαι. ἔστι τῆς Πελοποννήσου ἰσθμὸς στεινός· ἐν τούτῳ τῷ χώρῳ πάντων Πελοποννησίων συνομοσάντων ἐπὶ σοὶ μάχας ἰσχυροτέρας ἄλλας τῶν γενομενέων προσδέκεο ἔσεσθαί τοι. ἐκεῖνο δὲ ποιήσαντι ἀμαχητὶ ὅ τε ἰσθμὸς οὗτος καὶ αἱ πόλιες προσχωρήσουσι."*

Λέγει μετὰ τοῦτον Ἀχαιμένης, ἀδελφεός τε ἐὼν **236** *Ξέρξεω καὶ τοῦ ναυτικοῦ στρατοῦ στρατηγός, παρα-*

15. *ἔχεις* 'kennst' (VI 52 29). — *τὰς διεξόδους τῶν βουλευμάτων* 'die Wege und Richtungen ihrer Pläne', d. h. 'ihre Pläne nach allen Seiten'. Ebenso III 156 16.

235. 2. *προθύμως* 'ernstlich'.

3 f. *εἰ – ἀποστείλειας*: zu c. 5 10.

5 ff. Ein Vergleich dieser Stelle mit Thuk. IV 52 ff. (Besetzung Kytheras durch den Athener Nikias und Verwüstung der lakonischen Küsten, im Jahre 424) scheint zu ergeben, dafs jene für Sparta überaus lästige Unternehmung schon seit Beginn des Krieges in Aussicht genommen und ihre Folgen besprochen waren; denn in jenem Jahre war das Werk des H. bereits in den Händen des Publikums (Einl. S. XLVI). — *Χίλων*: vgl. I 59. — *μᾶλλον*: zu c. 50 7.

13. 'Wenn sie aber einen sie unmittelbar betreffenden Krieg in der Nachbarschaft haben'.

20. *συνομοσάντων*: vgl. c. 148 2.

τυχών τε τῷ λόγῳ καὶ δείσας μὴ ἀναγνωσθῇ Ξέρξης ποιέειν ταῦτα, „ὦ βασιλεῦ, ὁρῶ σε ἀνδρὸς ἐνδεκόμενον λόγους ὃς φθονέει τοι εὖ πρήσσοντι ἢ καὶ προδιδοῖ πρήγματα τὰ σά. καὶ γὰρ δὴ καὶ τρόποισι τοιούτοισι χρεώμενοι Ἕλληνες χαίρουσι· τοῦ τε εὐτυχέειν φθονέουσι καὶ τὸ κρέσσον στυγέουσι. εἰ δ' ἐπὶ τῇσι παρεούσῃσι τύχῃσι, τῶν νέες νεναυηγήκασι τετρακόσιαι, ἄλλας ἐκ τοῦ στρατοπέδου τριηκοσίας ἀποπέμψεις περιπλέειν Πελοπόννησον, ἀξιόμαχοι γίνονται οἱ ἀντίπαλοι· ἀλὴς δὲ ἐὼν ὁ ναυτικὸς στρατὸς δυσμεταχείριστός τε αὐτοῖσι γίνεται, καὶ ἀρχὴν οὐκ ἀξιόμαχοι ἔσονται, καὶ πᾶς ὁ ναυτικὸς τῷ πεζῷ ἀρήξει καὶ ὁ πεζὸς τῷ ναυτικῷ ὁμοῦ πορευόμενος· εἰ δὲ διασπάσεις, οὔτε σὶ ἔσεαι ἐκείνοισι χρήσιμος οὔτε ἐκεῖνοι σοί. τὰ σεωυτοῦ δὲ τιθέμενον εὖ γνώμην ἔχω τὰ τῶν ἀντιπολέμων μὴ ἐπιλέγεσθαι πρήγματα, τῇ τε στήσονται τὸν πόλεμον τά τε ποιήσουσι ὅσοι τε πλῆθος εἰσί. ἱκανοὶ γὰρ ἐκεῖνοί γε αὐτοὶ ἑωυτῶν πέρι φροντίζειν εἰσί, ἡμεῖς δὲ ἡμέων ὡσαύτως. Λακεδαιμόνιοι δὲ ἦν ἴωσι ἀντία Πέρσῃσι ἐς
237 μάχην, οὐδὲν τὸ παρεὸν τρῶμα ἀκεῦνται.“ ἀμείβεται Ξέρξης τοῖσιδε. „Ἀχαίμενες, εὖ τέ μοι δοκέεις λέγειν καὶ ποιήσω ταῦτα. Δημάρητος δὲ λέγει μὲν τὰ ἄριστα ἔλπεται εἶναι ἐμοί, γνώμῃ μέντοι ἐσσοῦται ὑπὸ σεῦ. οὐ γὰρ δὴ κεῖνό γε ἐνδέξομαι ὅκως οὐκ εὐνοέει τοῖσι ἐμοῖσι πρήγμασι, τοῖσί τε λεγομένοισι πρότερον ἐκ τούτου σταθμώμενος καὶ τῷ ἐόντι, ὅτι πολιήτης μὲν πολιήτῃ εὖ πρήσσοντι φθονέει καὶ ἔστι δυσμενὴς

236. 8 f. τὸ κρέσσον, kollektiv (I 97 1). — ἐπί, auf ἄλλας bezüglich, ‘aufser, zu’, wie c. 164 10. IX 78 8. — τῶν: richtig etwa τῇσι τῶν νεῶν.

10. στρατοπέδου: zu V 36 22.

11. 13. ἀξιόμαχοι, absolut, ohne τοι auch VIII 63 5. Thuk. IV 57. V 2.

16. ἐκείνοισι, die nach Kythera geschickt werden sollen.

17. γνώμην ἔχω, censeo.

18. στήσονται: zu c. 9 β 2.

22. haud reparabunt quam nunc accepere cladem. ἀκεῦνται, Fut. = ἀκέσονται. (Das attische Fut. ἀκοῦμαι hat Cobet in zwei Versen der jüngeren Komödie nachgewiesen).

237. 6. λεγομένοισι πρότερον: vom Tempus zu I 9 8.

7. τῷ ἐόντι ‘aus der Thatsache’ (I 30 16).

τῇ σιγῇ, οὐδ' ἂν συμβουλευομένου τοῦ ἀστοῦ πολιήτης ἀνὴρ τὰ ἄριστά οἱ δοκέοντα εἶναι ὑποθέοιτο, εἰ μὴ πρόσω ἀρετῆς ἀνήκοι· σπάνιοι δὲ εἰσὶ οἱ τοιοῦτοι· ξεῖνος δὲ ξείνῳ εὖ πρήσσοντι ἐστὶ εὐμενέστατον πάντων, συμβουλευομένου τε ἂν συμβουλεύσειε τὰ ἄριστα. οὕτω ὦν [περὶ] κακολογίης τῆς ἐς Δημάρητον, ἐόντος ἐμοὶ ξείνου πέρι, ἔχεσθαι τινὰ τοῦ λοιποῦ κελεύω.“

Ταῦτα εἶπας Ξέρξης διεξῆιε διὰ τῶν νεκρῶν, καὶ **238** Λεωνίδεω, ἀκηκοὼς ὅτι βασιλεύς τε ἦν καὶ στρατηγὸς Λακεδαιμονίων, ἐκέλευσε ἀποταμόντας τὴν κεφαλὴν ἀνασταυρῶσαι. δῆλά μοι πολλοῖσι μὲν καὶ ἄλλοισι τεκμηρίοισι, ἐν δὲ καὶ τῷδε οὐκ ἥκιστα γέγονε, ὅτι βασιλεὺς Ξέρξης πάντων δὴ μάλιστα ἀνδρῶν ἐθυμώθη ζῶντι Λεωνίδῃ· οὐ γὰρ ἄν κοτε ἐς τὸν νεκρὸν ταῦτα παρενόμησε, ἐπεὶ τιμᾶν μάλιστα νομίζουσι τῶν ἐγὼ οἶδα ἀνθρώπων Πέρσαι ἄνδρας ἀγαθοὺς τὰ πολέμια. οἳ μὲν δὴ ταῦτα ἐποίευν τοῖσι ἐπετέτακτο ποιέειν.

[Ἄνειμι δὲ ἐκεῖσε τοῦ λόγου τῇ μοι τὸ πρότερον **239** ἐξέλιπε.] ἐπύθοντο Λακεδαιμόνιοι ὅτι βασιλεὺς στέλλοιτο

9. τῇ σιγῇ ‘durch sein Schweigen’, wo er ratend und warnend sich äufsern sollte, bethätigt er seine Abgunst, und wenn ihn sein Landsmann (τοῦ ἀστοῦ, nur variiert für πολιήτεω) um Rat fragt, so giebt er ihm nicht aufrichtig seinen besten.

11. πρόσω ἀρετῆς ἀνήκοι: vgl. zu V 49 15. VII 9 γ 5.

14 f. Die Worte ἐόντος ἐμοὶ ξείνου πέρι enthalten eine zweite selbständig gehaltene Bestimmung zu κακολογίης. Zum Ausdruck vgl. VIII 77 ἀντιλογίης χρησμῶν πέρι. — ἔχεσθαι, abstinere (VI 85 15. III 169 11). — τινά: zu VI 9 14.

238. 4. Bei δῆλα fehlt die nötige Anknüpfung, wie νυν (III 15 9), ὦν (III 38 1), δέ (V 78 1), δή (IX 100 6), τε (IX 68 1), ὥστε (II 79 7). Die Bemerkung ist wohl später nachgefügt.

8. Ein Beispiel c. 181.

10 f. Vgl. zu III 29 8.

239. Durch ἄνειμι - ἐξέλιπε wird für den Inhalt des Kapitels ein Anschlufs an c. 220 10 ff. versucht, zu welcher Stelle allerdings insoweit eine Ergänzung und Aufklärung passend erscheint, als dort nicht gesagt ist wie die Spartiaten, früher als die übrigen Hellenen (s. unten 3 und 25), Kunde von dem kaum beschlossenen Kriegszuge (περὶ τοῦ πολέμου τούτου αὐτίκα κατ' ἀρχὰς ἐγειρομένου) erlangt hatten. Gleich dort angeknüpft würde das Geschichtchen von Demaratos' Brief die Entwickelung der Katastrophe an den Thermopylen in unziemlicher Weise unterbrochen haben; hier ist es um so passender untergebracht, als eben erst Demaratos über seine Gesinnung gegen seinen persischen

ἐπὶ τὴν Ἑλλάδα πρῶτοι, καὶ οὕτω δὴ ἐς τὸ χρηστήριον τὸ ἐς Δελφοὺς ἀπέπεμψαν, ἔνθα δή σφι ἐχρήσθη τὰ ὀλίγῳ πρότερον εἶπον· ἐπύθοντο δὲ τρόπῳ θωμασίῳ. Δημάρητος γὰρ ὁ Ἀρίστωνος φυγὼν ἐς Μήδους, ὡς μὲν ἐγὼ δοκέω καὶ τὸ οἰκὸς ἐμοὶ συμμάχεται, οὐκ ἦν εὔνοος Λακεδαιμονίοισι, πάρεστι δὲ εἰκάζειν εἴτε εὐνοίῃ ταῦτα ἐποίησε εἴτε καὶ καταχαίρων. ἐπείτε γὰρ Ξέρξῃ ἔδοξε στρατηλατέειν ἐπὶ τὴν Ἑλλάδα, ἐὼν ἐν Σούσοισι ὁ Δημάρητος καὶ πυθόμενος ταῦτα ἠθέλησε Λακεδαιμονίοισι ἐξαγγεῖλαι. ἄλλως μὲν δὴ οὐκ εἶχε σημῆναι, ἐπικίνδυνον γὰρ ἦν μὴ λαμφθείη, ὃ δὲ μηχανᾶται τοιάδε· δελτίον δίπτυχον λαβὼν τὸν κηρὸν αὐτοῦ ἐξέκνησε, καὶ ἔπειτα ἐν τῷ ξύλῳ τοῦ δελτίου ἔγραψε τὴν βασιλέος γνώμην, ποιήσας δὲ ταῦτα ὀπίσω

Wohlthäter einen klärlichen Beweis gegeben, unter dessen Eindruck der Vf. es seinen Lesern getrost überlassen konnte zu entscheiden *εἴτε εὐνοίῃ ταῦτα ἐποίησε εἴτε καὶ καταχαίρων* (9). Aber die ganze Übergangsformel, wesentlich verschieden von I 140 15. VII 137 23 *ἄνειμι* (oder *ἐπάνειμι*) *ἐπὶ τὸν πρότερον λόγον*, wo der Erzähler nach einer Episode den Hauptfaden wieder aufnimmt, scheint eine spätere Zuthat zu sein. — *ἐξέλιπε, defecit*, ist unpassend bei Anknüpfung einer beiläufigen Anekdote, und *τὸ πρότερον* 'in früherer Zeit' (I 63 7. VII 175 6) oder 'das frühere Mal' hier ungehörig. Die Geschichte selber, deren Echtheit bezweifelt worden, ist nach Inhalt und Sprache unverdächtig. Sie wird vom Vf., wie viele andere Stellen (Einl. S. XLV f.) erst nachträglich zugefügt und dabei zunächst ohne äufseren Anschluſs gelassen sein (vgl. zu c. 137 6). Eine gewisse Unfertigkeit in diesem Teile der Schrift verrät sich auch in dem unvermittelten Übergang zu VIII 1.

3. *καὶ οὕτω δή*, wie IX 106 20.

4. *τὸ ἐς Δελφούς*, wie II 150 *ἐς τὴν Σύρτιν τὴν ἐς Λιβύην*. — *ἀπέπεμψε*, wie I 46 14 f.

5. *θωμασίῳ* 'verwunderlich'.

6 ff. Die Erzählung hebt an, als sollte die Hauptsache (*ἠθέλησε – ἐξαγγεῖλαι*) gleich folgen, lenkt aber in eine Nebenbemerkung über das Motiv der Sendung ab, und setzt darum mit *ἐπείτε γὰρ . . .* von neuem ein. Vgl. zu c. 137 6. — *τὸ οἰκός*: zu c. 103 15. — *συμμάχεται*: vgl. zu c. 5 14. Sonst hätte er nicht dem Feinde die Schwäche des Vaterlandes bloſsgelegt (c. 235). S. auch c. 104 6 ff. — *πάρεστι δὲ εἰκάζειν*: vgl. die ähnlichen Äufserungen II 123 1. V 45 17. VII 10 *β* 5. — *εἰκάζειν, existimare*, widerspricht nicht dem *οἰκός*, mit dem es im Etymon zusammentrifft (eigentlich = *εἰκὸς ποιέεσθαι*).

9. *καταχαίρων* 'aus Schadenfreude' (I 129 2). — *ἐπείτε*, im Jahre 485.

12. Vgl. I 123 14 ff. V 35 10 ff. Die beiden Geschichtchen sind zu ähnlich, um glaubwürdig zu sein.

14. *τὸν κηρόν*: sonst heifst dieser Wachsüberzug *μάλθα* oder *μάλθη*.

16. *γνώμη, consilium.*

ἐπέτηξε τὸν κηρὸν ἐπὶ τὰ γράμματα, ἵνα φερόμενον κεινὸν τὸ δελτίον μηδὲν πρῆγμα παρέχοι πρὸς τῶν ὁδοφυλάκων. ἐπεὶ δὲ καὶ ἀπίκετο ἐς τὴν Λακεδαίμονα, οὐκ εἶχον συμβαλέσθαι οἱ Λακεδαιμόνιοι, πρίν γε δή σφι, ὡς ἐγὼ πυνθάνομαι, Κλεομένεος μὲν θυγάτηρ Λεωνίδεω δὲ γυνὴ Γοργὼ ὑπέθετο ἐπιφρασθεῖσα αὐτή, τὸν κηρὸν ἐκκνᾶν κελεύουσα, καὶ εὑρήσειν σφέας γράμματα ἐν τῷ ξύλῳ. πειθόμενοι δὲ εὗρον καὶ ἐπελέξαντο, ἔπειτα δὲ τοῖσι ἄλλοισι Ἕλλησι ἐπέστειλαν. ταῦτα μὲν δὴ οὕτω λέγεται γενέσθαι.

19. *καί* 'wirklich' (I 75 21).

20. *συμβαλέσθαι*, was die scheinbar schriftleere Tafel bedeute.

22. *Γοργώ*, die schon als Kind so überraschenden Verstand gezeigt (V 51). — *αὐτή* = *μούνη* (V 68 6. VIII 51 11).

GEÄNDERTE LESUNGEN.

(Vgl. des Herausgebers zweite Textausgabe, 1884.)

VII. 3 9 [*Δαρείῳ*] vanHerwerden 6 4 [*ἐς τὸ πείθεσθαι Ξέρξην*] ders. 26 ⟨*οἱ*⟩ 8 α 13 [*τε*] 15 *δὲ d* 8 β 7 *παύσομαι . . .* 8 γ 7 *οὐδὲ γὰρ ἄλλην χώρην γε ABC* 9 β 5 ⟨*καὶ*⟩ 10 γ 6 [*τῶν γεφυρέων*] Naber, [*τοῦ Ἴστρου*] St. 15 2 [*καλέοντα*] Valckenaer 18 11 *συστρατευσάμενος* 22 1 *πταισάντων ABC* 10 *οἰκεόμενον* 23 7 *ἀπίκοιτο* 16 *ὅσην* vanH. 25 8 *σῖτον* ⟨*οἳ μὲν*⟩ 29 13 [*ἑπτὰ χιλιάδων*] 32 8 ⟨*δὴ*⟩ 9 *ἀτρεκέως* vanH. 34 3 [*τὴν*] *R.* Gomperz 36 6 ⟨*τὴν πρὸς τοῦ Ἑλλησπόντου*⟩ 39 13 [*ἐλάσσω δὲ τῆς ἀξίης*] 40 9 *ἐκ Περσέων* 16 *δὲ αὐτοῦ εἵπετο* 46 2 [*ὁ πάτρως*] vanH. 16 *συνταράσσουσι* 49 10 ⟨*πολλοὺς*⟩ 50 4 *προσφερόμενα* 52 4 *τῷ* Reiske 8 *ἐνέδεξαν* 56 2 [*ὁ στρατὸς αὐτοῦ*] 63 5 ⟨*μαχαίρῃσι*⟩ 70 9 *προμετώπια ABC* 82 6 [*ἐγίνοντο*] 83 2 *σύμπαντος στρατοῦ ABC* ib. ⟨*τοῦ*⟩ 6 *ἐξέλειπε* 11 *χρυσὸν ἄφθονον* 85 11 ⟨*ὡς*⟩ 86 12 ⟨*ἐς*⟩ 96 4 [*αὐτῶν*] 10 *στρατηγοί τε* die Hss. aufser *R* 100 14 ⟨*τε*⟩ 103 28 [*Περσέων*] 104 20 *ὑπερδειμαίνουσι* 107 14 ⟨*τε*⟩ 109 12 [*ὡσεὶ*] 115 8 ⟨*τε*⟩ 118 7 *ἀραιρημένος . . .* 119 4 ⟨*τε*⟩ 14 *ὁμοσιτέουσι* 127 9 [*ἐκ Κρηστωναίων ἑόν*] Madvig 134 6 *δὴ* 8 ⟨*γινόμενον*⟩ 139 7 ⟨*γε*⟩ 140 6 *φύγ' ἐς* Reiske 141 10 *μένομεν ABC* 142 13 *ἔπεα* 145 15 *φροντίσαντες* 147 10 *τῇδε ἄλλῃ* Schweighäuser 148 24 ⟨*πᾶσαν*⟩ 150 5 [*λέγεται*] Cobet 153 9 [*ἑνός τευ τῶν προγόνων*] 14 ⟨*εἰ*⟩ 16 ⟨*αὐτός τε καὶ*⟩ 154 15

ἀπέφυγε Eltz 164 4 *ὑπὸ PR* 9 [*ἐοῦσαν*] 170 20 [*καὶ*] vanH. 171 5 *γίνεσθαι AB* 11 *νέμεσθαι. Κρῆτας μὲν δὴ ἡ Πυθίη* 175 6 ⟨*χώρης καὶ μούνη*⟩ 176 28 ⟨*Ἕλλησι*⟩ 184 6 *ὅμιλον ἐόντα ABC* 31 ⟨*ἐν*⟩ 186 3 *τῇσι* Passow 187 7 [*παρίσταται*] 14 *κυσὶ . . .* 188 6 *ὅρμεον τὸ* Kallenberg 194 8 *ἐὼν* 16 *περιέσεσθαι* Naber 196 6 *τῆς* ⟨*τε*⟩ 7 *Θεσσαλῆς* vanH. 197 15 [*ἐξηγέοντο*] Sitzler 200 7 ⟨*τε*⟩ 203 1 ⟨*τε*⟩ 3 *αὐτόθεν* 8 ⟨*ἄλλων τῶν*⟩ 205 18 *ἄλλα φρονέοντες R* 209 11 [*πρήγματα*] 17 *τε PR* 212 2 [*τῆς μάχης*] vanH. 6 *ἐόντων . . .* 11 [*εὗρισκον*] Madvig 214 10 *φυγόντα* u. ⟨*διὰ*⟩ 215 1 ⟨*οἱ*⟩ *z* *ὑπέσχετο Ἐπιάλτης ABC* 8 *ἐκ τόσου* 216 3 ⟨*τε*⟩ 7 [*κατὰ*] 217 10 *εἰρημένων* 218 8 *οὐδέν ABC* 9 [*οἱ Φωκέες*] Naber 15 *ὁρμηθείησαν* 220 5 *καὶ αὐτὸς* 25 ⟨*δοκέω*⟩ 223 12 *στεινῶν . . .* 225 2 . . . *ὑπὲρ* 228 2 . . . *ἢ* 229 12 [*ἀγαγόντα*] vanH. 231 2 ⟨*ὦν*⟩ 232 3 ⟨*οἱ*⟩ 234 10 *μάλιστά κῃ* Schäfer 235 12 ⟨*οἱ σοὶ*⟩ 236 11 u. 13 *ἀξιόμαχοι* ohne *τοι ABC* 239 23 *ἐκκνᾶν* Naber

---

Druck von J. B. Hirschfeld in Leipzig.